Eulogikon
Ancient Greek Texts — Free & Open source

eul_wid: qmm-cl

*Γαληνὸς ὁ Περγαμηνός* · Galen of Pergamon

# On Hippocrates' Prognostic

*Περὶ Ἱπποκράτους Προγνωστικοῦ*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

18b 1 (t1) ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ Τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύει ν . Ὅτι μὲν ἀντὶ τῆς προγνώσεως εἴρηκε τὴν πρόνοιαν ἄντικρυς δῆλον· ἐπιφέρων γοῦν φησι “προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσιν.” ἐδέησε δὲ αὐτῷ προοιμίου κατὰ τοῦτο τὸ σύγγραμμα, καίτοι γε οὐ πάνυ τι προ οιμίοις χρωμένῳ, διά τινας ὡς εἰκὸς ἰατροὺς τῶν κατ’ αὐτόν, οἷοι καὶ νῦν εἰσι, τῶν μεθοδικοὺς ἑαυτοὺς ὀνομαζόντων, ἰατροῦ μὲν ἔργον εἶναι φάσκοντας ἤτοι φυλάττειν τὴν οὖσαν ὑγείαν ὡς ἐπὶ τῶν ὑγιαινόντων ἢ ἀναλαμβάνειν τὴν διεφθαρμένην ὡς ἐπὶ τῶν νοσούντων, μάντεως δὲ τὸ προλέγειν τὸ γενησόμενον.

18b 2 ἐπιδείκνυσιν οὖν ὁ Ἱπποκράτης διὰ τοῦ προοιμίου χρήσιμον ἰατρῷ τὸ προγινώσκειν ὑπάρχον, εἰς τρία κεφάλαια τὸν λόγον ἀνάγων, ἓν μὲν ὅτι τοὺς νοσοῦντας εὐπειθεστέρους ἕξει τοῖς ὑφ’ ἑαυτοῦ προσταττομένοις, δεύτερον δὲ ὅτι προειδὼς τὰ συμβησόμενα τοῖς κάμνουσιν ἐκ πολλοῦ πρὸς αὐτὰ παρασκευάσεται καὶ τρίτον ὅτι τοῦ θανάτου τῶν νοσούντων ἀναίτιος ὑποληφθήσεται αὐτός. βούλεται δ’ οὐδὲν ἧττον ὑπάρχειν αὐτῷ τοῦτο, τὸ καὶ τῆς ὑγείας αἰτίῳ νομίζεσθαι. προσσχῶμεν οὖν ἤδη ταῖς ῥήσεσι, δι’ ὧν κατασκευάζει τῶν εἰρημένων κεφαλαίων ἕκαστον. Προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι τά τε παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγεύμενος πιστεύοι τ ’ ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματα · ὥστε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφᾶς ἑαυτοὺς τῷ ἰητρ ῷ .

18b 3 Τὸ πρῶτον τῶν κεφαλαίων ἐν τούτῳ τῷ λόγῳ κατασκευάζει τολμᾶν φάσκων τοὺς ἀνθρώπους ἐπιτρέπειν ἑαυτοὺς τῷ ἰατρῷ διὰ τὴν τῆς προρρήσεως ἐπιτυχίαν· ἕπεται γὰρ ταύτῃ τὸ πιστεύεσθαι γινώσκειν τὸν ἰατρὸν ἀκριβῶς ἅπαντα τῶν νοσούντων τὰ πράγματα, ὁποία τε τούτοις ἐστὶν ἡ κατασκευὴ τοῦ νοσήματος, ὥστε εἶναι τὸ συνεχὲς τῆς ἀποδείξεως ὧδέ πως περαινόμενον· ὁ ἰατρὸς ἐξ ὧν προλέγει πιστεύεται γινώσκειν τὴν φύσιν τοῦ νοσήματος, ὁ πιστευόμενος γινώσκειν τὴν φύσιν τοῦ νοσήματος εὐπειθεστέρους ἔχει τοὺς κάμνοντας, ὁ τοὺς κάμνοντας εὐπειθεστέρους ἔχων μᾶλλον ἰᾶται τὰς νόσους. ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγεύμενο c. παραλείπουσιν οἱ ἀσθενοῦντες οὐχ ἃ μηδ’ ὅλως ἐπίστανται, καθάπερ ἔνιοι τῶν ἐξηγητῶν γράφουσι, τοὺς ἐν τῷ βάθει τοῦ σώματος τόπους πεπονθότας ἢ τὰς αἰτίας τε καὶ διαθέσεις αὐτῶν, ἀλλὰ τῶν μὲν αἰτίων τὰ προκαταρκτικὰ καλούμενα μόνα, τῶν δὲ περὶ τὸ σῶμα συμπτωμάτων τὰ φαινόμενα.

18b 4 τούτων οὖν ὅσα κατὰ τὴν διήγησιν οἱ κάμνοντες οὐκ εἶπον, ἐὰν ἀκούσωσι παρὰ τῶν ἰατρῶν, εὐλόγως αὐτοὺς θαυμάζουσι. τίνι δὲ μεθόδῳ χρώμενοι τοῦτο πράξομεν, ἐπιδείξω τοῦ λόγου προϊόντος. Οὕτω δὲ καὶ τὴν θεραπείην ἄριστα ἂν ποιοῖτο προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτω ν . ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας ἀδύνατον · τοῦτο γὰρ καὶ τοῦ προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι κρεῖσσον ἂν ἦ ν . Τὴν δευτέραν χρείαν ἐνταῦθα διεξέρχεται τῆς προγνώσεως· ἐκ γὰρ τοῦ γινώσκειν ἀκριβῶς τὴν διάθεσιν τοῦ κάμνοντος ἔνια μὲν κωλύσει τῶν εἰωθότων αὐτῇ παθημάτων ἀκολουθεῖν, ἐνίων δὲ κωλύσει τὸ μέγεθος, ἅπασι δὲ κοινῇ καλῶς ἀντιτάξεται προπαρασκευαζόμενος ὥσπερ ἀγαθὸς κυβερνήτης μέλλοντος ἔσεσθαι χειμῶνος.

18b 5 Ἐπεὶ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν οἱ μὲν πρὶν ἢ καλέσαι τὸν ἰητρὸν ὑπὸ ἰσχύος τῶν νούσω ν , οἱ δὲ καὶ ἐσκαλεσάμενοι παραχρῆμα ἐτελεύτησα ν , οἱ μὲν ἡμέρην μίην ζήσαντε ϲ , οἱ δὲ ὀλίγῳ πλείονα χρόνον πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθα ι , γνῶναι οὖν χρὴ τῶν τοιουτέων παθέων τὰς φύσια ϲ , ὁκόσον ὑπὲρ τὴν δύναμίν εἰσι τῶν σωμάτω ν , ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοις ι , καὶ τουτέου τὴν πρόνοιαν ἐκμανθάνει ν .

18b 6 οὕτω γὰρ ἂν θαυμάζοιτό τε δικαίως καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴ η . καὶ γὰρ οὓς οἷόν τε περιγενέσθαι ἔτι μᾶλλον ἂν δύναιτο διαφυλάσσειν ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προαγορεύων ἀναίτιος ἂν εἴ η . Ἐν τούτῳ τῷ λόγῳ τὰ προειρημένα δύο κεφάλαια τῆς κατὰ τὴν πρόγνωσιν χρείας ἔτι κατασκευάζει, τὸ δὲ τρίτον αὐτοῖς προσέθηκεν ἀναίτιον εἶναι λέγων τὸν ἰατρόν, ἐὰν τοὺς σωθησομένους τε καὶ τεθνηξομένους προλέγῃ. νεανίσκον γοῦν τις ἰατρὸς ἔναγχος ἀρξάμενον νοτίζεσθαι συγκοπτικῶς ἀγνοήσας εἰς βαλανεῖον εἰσήγαγεν, εἶθ᾽ ἱδρώτων πολλῶν γενομένων ἐγεγήθει μὲν ὡς ἐστοχασμένος ἀκριβῶς τοῦ καιροῦ, μικρὸν δὲ ὕστερον ἀποθανόντος πρὸς τῶν οἰκείων ὡς αὐτὸς ἀποκτείνας ἐνεκαλεῖτο. ἄχρι μὲν οὖν τοῦδε τὴν ἐξήγησιν ἐποιησάμην τοῦ προοιμίου πλὴν τοῦ κατὰ τὸ θεῖον σημαινομένου διὰ βραχυτάτων, ὅπερ εἶδος ἐξηγήσεως λόγων ἁρμόττει τοῖς πεπαιδευμένοις μὲν τὰ πρῶτα, σπεύδουσι δὲ ἐπὶ τὸ χρήσιμον τοῦ βιβλίου.

18b 7 τοῖς δ᾽ ἤτοι λέξεως Ἑλληνικῆς ἀήθεσιν ἢ καὶ τοῖς 〈τῆς〉 ἐν λόγοις ἀκολουθίας ἀμαθέσιν ἢ οἳ τῶν χρησιμωτάτων μὲν ἀμελοῦσι, διατρίβουσι δὲ καὶ νῦν ἑκόντες ἐν τοῖς σοφιστικωτέροις τῶν λόγων, ἕτερος ἴδιος ἐξηγήσεών ἐστι τρόπος ὁ διὰ μακροτέρου περαινόμενος, ὃν ὑπερβαίνειν ὅλον ἔξεστι τοῖς ἐπὶ τὸ χρήσιμον σπεύδουσιν ἐπειλίξασι τὸ μεταξὺ τοῦ βιβλίου, μέχριπερ ἂν ἐπ᾽ ἐκείνην ἀφίκωνται τὴν ῥῆσιν, ἧς ἡ ἀρχή· “σκέπτεσθαι δὲ ὧδε χρὴ ἐν τοῖσιν ὀξέσι νοσήμασι.” τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύει ν. οὐ κατὰ τὸ κοινὸν ἔθος τῶν Ἑλλήνων ὁ Ἱπποκράτης δοκεῖ κεχρῆσθαι τῷ τῆς προνοίας ὀνόματι. τὴν γὰρ φροντίδα καὶ τὴν ἐπιμέλειαν οὕτως ὀνομάζουσιν, ὥσπερ ἀμέλει καὶ ὁ Εὐριπίδης ἐδήλωσεν εἰπών· ἡ δὲ καὶ θνήσκουσ᾽ ὅμως πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν.

18b 8 καὶ μὲν δὴ καὶ τὸ ‘προνοεῖσθαι‘ ῥῆμα κατὰ πάσας τὰς ἐγκλίσεις ἄπειρον τῷ πλήθει παρὰ τοῖς Ἕλλησίν ἐστιν ἐπὶ τοῦ φροντίζειν τινὸς ἢ προπαρασκευάζειν ἀεὶ τὸ συμφέρον λεγόμενον, ἀλλὰ καὶ τὸ ‘προνοίᾳ‘ τὸν κόσμον διοικεῖσθαι, τοῦτο δὴ τὸ πολυθρύλητον πρόβλημα, ταὐτὸν ἐνδείκνυται σημαινόμενον. ὁ δέ γε Ἱπποκράτης οὐχ οὕτως, ἀλλά γε ἀντὶ τῆς προγνώσεως εἶπε τὴν πρόνοιαν, ἐμοὶ δοκεῖν οὐχ ἁπλῶς, ἀλλ᾽ ἀπό τινος κοινοῦ σημαινομένου κατ᾽ ἀμφοτέρας τὰς προσηγορίας· ἀπὸ γάρ τοι τοῦ νοῆσαι τὰ πράγματα πρὶν ἔσεσθαι τό τε προνοῆσαι ῥῆμα παρ᾽ Ὁμήρῳ καὶ τὸ τῆς προνοίας ὄνομα παρὰ τούτῳ γέγονεν, ἀπ᾽ αὐτοῦ δὲ τούτου καὶ τὸ προγνῶναι καὶ ἡ πρόγνωσις. ὅσα μὲν οὖν αἰσθητά ἐστι φύσει, τῷ λογισμῷ δ᾽ αὐτὰ θηρεύομεν πρὸ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεάσασθαι, προνοεῖν ταῦτα δεόντως ἂν εἴποιμεν, ἐνδεικνύμενοι διὰ τοῦ ῥήματος τὸ πρὶν ἔσεσθαι νοεῖν.

18b 9 διὰ τοῦτο καὶ τῶν πραχθέντων τὰ μὲν ἐξαίφνης ἀκούσια καὶ ἀπρονόητα, τὰ δὲ ἐκ τοῦ προβουλεύεσθαι ‘μετὰ προνοίας‘ λέγουσι πεπρᾶχθαι. τοιοῦτον γοῦν ἐστι καὶ τὸ παρὰ τῷ Σόλωνι· “δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φάρμακον ἐάν τις ἀποκτείνῃ δούς.” καὶ μέντοι καὶ παρὰ τοῖς ῥήτορσι τοῖς παλαιοῖς παμπόλλη χρῆσίς ἐστι τῶν τοιούτων ὀνομάτων τε καὶ ῥημάτων, ἐν οἷς τὰ κατὰ πρόνοιαν ἀντιδιαιροῦνται τοῖς ἄνευ τοῦ προβουλεύσασθαι γινομένοις, οἷον, ἄκων εἴ τις ἐπήρωσεν ἢ εἰ θυμωθεὶς ἐπάταξεν, οὐκ ἐκ προνοίας τὰ τοιαῦτα γεγονέναι φασίν, εἰ δὲ προβουλευσάμενος ἐκ πολλοῦ καὶ προδιασκεψάμενος ὅπως πραχθείη τοὖργον ἐποίησεν, ἐκ προνοίας ἤδη τοῦτο πεπρᾶχθαι λέγουσι. κοινὸν οὖν τοῦτο σημαίνεται παρὰ τοῖς Ἕλλησιν ἐκ τοῦ τῆς προνοίας ὀνόματος ἀγαθῶν τε καὶ κα κῶν ἔργων, οὐχ ὡς ἔνιοι νομίζουσιν ἐπὶ τῶν ἀγαθῶν μόνων εἴωθε λέγεσθαι.

18b 10 καὶ γὰρ καὶ αὐτὸ τοῦτο τὸ πρόβλημα, πότερον τύχῃ τινὶ τὰ κατὰ τὸν κόσμον διοικεῖται ἢ προνοίᾳ, κατὰ τὸ κοινὸν εἴρηται σημαινόμενον, ὡς δῆλον ἐκ τῆς πρὸς τὴν τύχην ἀντιθέσεως· ἔνιοι δὲ οὐ τὴν τύχην, ἀλλὰ τὸ αὐτόματον ἀντιδιαιροῦνται τῇ προνοίᾳ ταὐτὸν σημαίνοντες ἑκατέρᾳ τῇ προσηγορίᾳ· καὶ μέντοι καὶ λέγεται πολλάκις ὑπὸ τῶν φιλοσόφων ὁ κόσμος διοικεῖσθαι τῇ τοῦ βελτίονος προνοίᾳ προστιθέντων αὐτῶν καὶ ‘τῇ τοῦ βελτίστου‘, διότι τὸ τῆς προνοίας ὄνομα κοινὸν ἐπίστανται χείρονός τε καὶ βελτίονος. καί μοι δοκεῖ ἡ ἀντιθέτως λεγομένη τῇ τύχῃ πρόνοια μὴ εἰρῆ σθαι κατὰ τὸ κοινὸν σημαινόμενον· ἡ γὰρ οὕτως λεγομένη πρόνοια τῶν ἀγαθῶν λέγεται μόνων, ἡ δὲ τῶν πάντων πρόνοια οὐκ ἔστι κακῶν ἔργων.

18b 11 εἴπερ οὖν ἡ πρόνοια κατὰ τοῦτο τὸ κοινὸν εἴρηται, δῆλον ὡς ἀπὸ τοῦ πρὶν ἔσεσθαι νοεῖν ὠνόμασται. τὴν αὐτὴν δὲ καὶ τὸ τῆς προγνώσεως ὄνομα γένεσιν ἔσχηκεν· ὅσα γὰρ αἰσθητὰ κατὰ τὴν ἑαυτῶν ὑπάρχοντα φύσιν ἔκ τινων σημείων ἀνευρίσκομεν, εἰκότως διὰ τούτων προνοεῖν αὐτὰ φαμέν, ὡς εἰ καὶ πρὸ τοῦ θεάσασθαι νοεῖν ἔφαμεν. καὶ διὰ τοῦτο τῶν κατὰ τοὺς τρεῖς χρόνους ἡ πρόγνωσίς ἐστιν, οὐ μόνων τῶν κατὰ τὸν μέλλοντα. μάντις δὲ οὐδὲν ἧττόν ἐστι θαυμαστὸς ὃς ὡς ὄντα τὰ προγεγονότα λέγει μὴ θεασάμενος τοῦ τὰ μέλλοντα γενήσεσθαι λέγοντος. οὕτω δὲ καὶ ὁ τὰ νῦν πραττόμενα πρὶν θεάσασθαι λέγων οὐδὲν ἧττον ἐκείνων ἀγαθός ἐστι μάντις. τοῦτο οὖν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐνεδείξατο λέγων· “προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι τά τε παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι.” τῆς αὐτῆς μὲν οὖν τέχνης ἐστὶ καὶ τὸ τὰ προγεγονότα μὴ θεασάμενον εἰπεῖν ὡς ἐγένετο καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἔσεσθαι, τῇ χρείᾳ δ’ ἀλλήλων πάμπολυ διαφέρει· τῶν μὲν γὰρ ἔσεσθαι μελλόντων ἡ πρόγνωσις χρησιμωτάτη, τῶν δ’ ἤδη γεγονότων ἄχρηστος μὲν εἰς τὰ ἄλλα, μόνῳ δὲ τῷ δεῖξαι βουλομένῳ τὴν ἑαυτοῦ τέχνην ἰατρῷ χρησίμη τετύχηκεν οὖσα. ταῦτα μὲν οὖν εἰ καὶ μὴ τῆς ἰα τρικῆς ἐστι τέχνης ἴδια, τῆς γοῦν ἐξηγήσεώς ἐστιν οἰκεῖα τὰ σημαινόμενα τῶν ἐν τοῖς συγγράμμασιν ὀνομάτων ἐξαπλούσης.

18b 12 ἐκ περιττοῦ δὲ ὡς πρὸς τὴν ἐξήγησιν καὶ πρὸς ἄλλο τι χρήσιμά ἐστιν, ὅσα λέγουσιν ἔνιοι τῶν ἐξηγητῶν εἰς τὸ τοῦ συγγραφέως ἦθος, ὥσπερ κἀνταῦθα τὸ μέτριον ἐπαινοῦντες ἐν τῷ φάναι· “δοκέει μοι ἄριστον εἶναι”. δυνατὸν γὰρ αὐτῷ φασιν εἰρηκέναι· ‘τὸν ἰητρὸν ἄριστόν ἐστι πρόνοιαν ἐπιτηδεύειν‘· ὁ δὲ κἀνταῦθα τὸ “δοκέει μοι” προσέθηκε καίτοι μέλλων ἀποδείξεις γράφειν τῆς ἀποφάσεως. ἃ δ’ οἱ περὶ τὸν Ἡρόφιλον εἰρήκασιν διορίζοντες τὴν πρόγνωσιν τῆς προρρήσεως οὐ μόνον ἄχρηστά ἐστιν ἢ ἀνοίκεια τὰ σημαινόμενα, ἀλλὰ καὶ σοφιστικὰ καὶ ψευδῆ. καίτοι δοκοῦσί γε διαφορὰς πραγμάτων διδάσκειν, οὐ σημαινόμενα νομοθετεῖν, ἁμαρτάνοντες ἐν αὐτῷ τούτῳ πρῶτον, ὅτι ἀγνοοῦσι περὶ σημαινομένων ποιούμενοι τὸν λόγον, οὐ περὶ πραγμάτων φύσεως ἰατρικῇ χρησίμων. ἡ γάρ τοι γνῶσις ἡ κατὰ τὸ τῆς προγνώσεως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄνομα περιεχομένη λέγεται μὲν ὡς τὰ πολλὰ κατὰ τὸ βέβαιον, ἔστι δ’ ὅτε μήν, εἰ καὶ λείπει τι πρὸς τὸ βεβαιότατον αὐτῇ, καὶ τόθ’ ὡσαύτως ὀνομάζεται.

18b 13 διόπερ ἐνίοτε καὶ μετὰ προσθήκης λέγουσιν οἱ διηγούμενοι τὰ κατ’ αὐτήν, ἔστιν ὅτε μὲν ἀκριβῆ γνῶσιν, ἐνίοτε δὲ ἀσφαλῆ καί ποτε βεβαίαν ἢ καὶ διηνεκῆ προσαγορεύοντες, ἐξ αὐτῆς τῆς προσθήκης ἐνδεικνύμενοι τὸ μὴ σημαίνεσθαι τὸ βέβαιον ἀεὶ πρὸς τοῦ τῆς γνώσεως ὀνόματος. οὕτως οὖν καὶ ἡ πρόγνωσίς ἐστιν διττή, βεβαία μέν, ὅτι μετὰ τὸν χειμῶνα γενήσεται τὸ ἔαρ, εἶθ’ ἑξῆς θέρος, εἶτα φθινόπωρον, οὐ βεβαία δέ, ἐν οἷς ὁ Ἄρατος ἔγραψεν ἐπὶ τῆς σελήνης· εἰ δέ κέ οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύοι, δεῖ δέχθαι βορέω, ὅτε δ’ ὑπτιάησι, νότοιο· ὡς τὸ πολὺ μὲν γὰρ οὕτως ἀποβαίνειν τετήρηται, γίνεταί γε μὴν ἔστιν ὅτε καὶ οὐχ οὕτως. οἱ δὲ περὶ τὸν Ἡρόφιλον ἡγοῦνται τὴν μὲν πρόγνωσιν τὸ βέβαιον ἔχειν, τὴν πρόρρησιν δὲ οὐκέτι· πολλὰ γὰρ τῶν προρρηθέντων οὐ γίνεσθαί φασιν, ὥσπερ δυναμένου τινὸς προειπεῖν ἄνευ τοῦ προγνῶ ναι.

18b 14 ἢ ἄλλο τι τὸ διὰ τῆς φωνῆς ἑρμηνευόμενον, ὅτι μὴ τὸ κατὰ τὴν ψυχὴν γινωσκόμενον; εἰ δ’ οὐ γινωσκόμενον ἐθέλοιεν ὀνομάζειν αὐτό, πάντως γε δοξαζόμενον ἐροῦσιν, ὡς προηγήσασθαι κατὰ τὴν ψυχὴν τοῦ προλέγοντος εἰ καὶ μὴ πρόγνωσιν, ἀλλὰ προδόξασιν. οὐ μὴν ὀνομάζουσί γε προδόξασιν οἱ Ἕλληνε c, ὥσπερ οὐδ’ οἱ περὶ τὸν Ἡρόφιλον αὐτοί, καίτοι πλεῖστα βαρβαρίζοντες. ἢ γοῦν νομοθετείτωσαν λέγεσθαι προδόξασιν ἕτερόν τι τῆς προγνώσεως ἅμα τῷ καὶ τοὺς ἀνθρώπους πεῖσαι παραδέξασθαι τὴν νομοθεσίαν αὐτῶν ἢ τοῦτο πρᾶξαι μὴ δυνάμενοι τὰ σημαινόμενα τῶν ὀνομάτων ὡς εἴθισται νοείτωσαν. εἴθισται δὲ καὶ τὴν ὡς τὸ πολὺ περὶ τῶν μελλόντων ἔσεσθαι ἐλπίδα καὶ τὴν ἀσφαλῆ καλεῖσθαι πρόγνωσιν. ἀγαθῶν δὲ ἰατρῶν ἐστιν ἔργον οὐ τὰ τοιαῦτα ζητεῖν, ἀλλ’ ὅπως ἂν ὁ προλέγων τὰ συμβησόμενα τοῖς κάμνουσι πλειστάκις μὲν ἐπιτυγχάνῃ, ὀλιγάκις δὲ ἀποτυγχάνῃ. φωνὴ μὲν γὰρ μία ἐστὶν ἡ ὡς ἐπὶ τὸ πολύ, παμπόλλη δὲ τοῖς πράγμασιν ὑπάρχει διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον.

18b 15 εἰ γοῦν τις ἐν εἴκοσι προρρήσεσιν ἅπαξ ἀποτύχοι, τοῦ μὲν διηνεκοῦς ἀφήμαρτεν, ἀμείνων δέ ἐστι τοῦ δὶς ἀποτυχόντος κἀκεῖνος τοῦ τρὶς ὥσπερ γε πάλιν ἐκεῖνος τοῦ τετράκις· καίτοι γε πάντες κοινὸν ἐσχήκασι τὸ τυχεῖν ὡς τὸ πολύ. τὰς μὲν δὴ τοιαύτας διδασκαλίας ἐξ ὧν ἄν τις ὁρμώμενος ἑτέρου μᾶλλον ἐπιτυγχάνοι προσίεσθαι δεῖ, τὰς δ’ ἐν τοῖς σημαινομένοις περιεργείας ἀποτρέπεσθαί τε καὶ φεύγειν, ἃς Πρόδικος ὁ τηλικοῦτος σοφιστὴς ἀσπαζόμενος ἐπαχθὴς τοῖς πεπαιδευμένοις ἐγίνετο καὶ ἐσκώπτετο συνεχῶς ὑπὸ τοῦ παρὰ τῷ Πλάτωνι Σωκράτους, καίτοι γε τἄλλα ἐπαινούμενος. ἴσως δὲ κακῶς ἐποίησα τὴν ἀρχὴν μνημονεύσας τῶν περὶ τὸν Ἡρόφιλο ν· ἄμεινον γάρ ἐστιν δηλοῦν τἀληθῆ ὅτι τάχιστα τοῖς σπεύδουσιν ἐπὶ τὰ τῆς τέχνης ἔργα καὶ μὴ κατατρίβειν αὐτοὺς διττῶς, ἑνὶ μὲν χρόνῳ διδάσκοντα τοὺς λήρους τῶν σοφιστῶν, ἑτέρῳ δ’ ἐξελέγχοντα. κάλλιον οὖν μοι δοκεῖ διὰ τῶνδε τῶν ὑπομνημάτων αὐτὰ τὰ χρήσιμα μόνα διεξελθεῖν, ἐξετάσαι δὲ αὖθις ἐπὶ σχολῆς πλείονος ἐν ἑτέρᾳ πραγματείᾳ καὶ διασκέψασθαι περὶ τῶν ὑπὸ Ἡροφίλου πρὸς τὸ Προγνωστικὸν Ἱπποκράτους ἀντειρημένων.

18b 16 ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγεύμενος πιστεύοι τ ’ ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματ α. ἔδει τοὺς ἐξηγεῖσθαί τι τῶν τοιούτων ἐπιχειροῦντας ἔργῳ πρότερον ἐπιδειξαμένους αὐτοὺς τολμᾶν οὕτως γράφειν. ἕτοιμον μὲν γὰρ ὃ βούλεταί τις γράψαι, δύσκολον δὲ δεῖξαι τοιαύτην θεωρίαν, ἐξ ἧς ἐπιτεύξεται πολλὰ παρὰ τοῖς κάμνουσι λέγων οὐ τῶν μελλόντων ἔσεσθαι μόνον, ἀλλὰ καὶ τῶν προγεγονότων, οἷς αὐτὸς οὐ παρεγένετο, καὶ τῶν νῦν ὄντων περὶ τοὺς κάμνοντας, ἃ μήτε ἤκουσε παρ’ αὐτῶν μηδέπω μήτ’ εἶδεν αὐτός, ὥσπερ καὶ ἡμεῖς, ἐν οἷς ἐροῦμεν, εἰκότως ἂν εἴημεν πιστοὶ τοῖς ἔργοις αὐτοῖς προεπιδεδειγμένοι τὸ τῆς θεωρίας ἀληθές. ὅπως δὲ μὴ δὶς ἀναγκαζοίμην περὶ τῶν αὐτῶν γράφειν ἔν τε τῇ τοῦ προοιμίου νῦν ἐξηγήσει καὶ μετὰ ταῦτα ἐν τῇ τῶν κατὰ μέρος, ἄμεινον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναί μοι δοκεῖ φυλάττειν ἅπαντα τὰ τοιαῦτα ταῖς μελλούσαις ἡμῖν γενήσεσθαι τῶν κατὰ τόδε τὸ βιβλίον ἰατρικῶν ῥήσεων ἐξηγήσεσι, καὶ μάλισθ' ὅτι μηδ' ἐποίησέ τις αὐτὸ τῶν ἐξηγησαμένων τὸ βιβλίον ἀναγκαιότατον ὑπάρχον. [5]

18b 17 ὃ γὰρ ἀξιοῖ τὸν ἰατρὸν ἀσκεῖν ὁ Ἱπποκράτη c, ὅσον ἐπὶ τούτοις, παραλέλοιπε μὴ δείξας ὅπως ἐχρῆν τῶν προγεγονότων μὲν ἢ παρόντων, οὐκ ἐγνωσμένων δὲ δι' αἰσθήσεως ἡμῖν τὴν πρόγνωσιν ποιεῖσθαι. ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοις ι , καὶ τουτέου τὴν πρόνοιαν ἐκμανθάνει ν. τί ποτέ ἐστι τὸ θεῖον, οὗ κελεύει τὴν πρόγνωσιν ποιεῖσθαι, διαπεφώνηται τοῖς ἐξηγησαμένοις τὸ βιβλίον. ἔνιοι μὲν γὰρ οἴονται καὶ διὰ θεῶν τινα ὀργὴν γίνεσθαι τοῖς ἀνθρώποις νοσήματα καὶ λέγουσί γε μαρτυρίαν τῆς δόξης ταύτης παρὰ τῶν γραψάντων τὰς καλουμένας ἱστορίας ἄνευ λόγου, μηδὲν ἐπιδεικνύντες, εἰ τῆς δόξης ταύτης μετεῖχεν ὁ Ἱπποκράτη c, ὅπερ ἦν ἔργον ἀγαθῶν ἐξηγητῶν· οὐ γὰρ ἁπλῶς πρόκειται λέγειν ἐν ταῖς ἐξηγήσεσιν, ὅτιπερ ἂν ἡμῖν ἀλη θὲς εἶναι δοκῇ, ἀλλὰ τὸ κατὰ τὴν τοῦ συγγραφέως γνώμην, κἂν ψευδὲς ᾖ. [15]

18b 18 φαίνεται γοῦν ὁ Ἱπποκράτης οὐδὲ καθ' ἓν τῶν ἑαυτοῦ συγγραμμάτων εἰς θεούς ποτε ἀναφέρων αἰτίαν νοσήματος, ὅς γε καὶ τοὺς βλητοὺς καλουμένους, οὓς ἀπό τινος 〈ὁμοιότητος〉 ὁρμηθέντες οὕτως ὠνόμασαν οἱ παλαιοί, διῆλθεν ἐν τῷ Περὶ διαίτης ὀξέων. τοῦτο μὲν οὖν τὸ σύγγραμμα τῶν ὁμολογουμένων γνησίων ἐστίν. ἐν δὲ τῷ Περὶ ἱερῆς νόσου καὶ πλείω γέγραπται πρὸς ἔλεγχον τῶν οἰομένων ὑπὸ θεῶν γίνεσθαι νοσήματα. μήτε οὖν τὴν ἐπιληψίαν οἰώμεθα θεῖον εἶναι νόσημα μήτε τὸν ἔρωτα· καὶ γὰρ καὶ τοῦτόν τινες ὑπολαμβάνοντες ἀληθῆ μὲν ἔγραψαν ἱστορίαν, ὡς Ἐρασίστρατος ἐφώρασε δι' ἔρωτα τὸν τοῦ βασιλέως ἀρρωστοῦντα υἱόν, θεῖον δὲ οὐκ ἐδίδαξαν οὔθ' ὑπὸ Ἐρασιστράτου καλούμενον οὔθ' ὑπὸ Ἱπποκράτους οὔθ' ὑπὸ ἄλλου τινὸς ἰατροῦ τὸν ἔρωτα. τοὺς δ' ἤτοι καταλεπτυνομένους ἢ ἀχροοῦντας ἢ ἀγρυπνοῦντας ἢ καὶ πυρέξαντας ἐπὶ προφάσεσιν ἐρωτικαῖς ἐν ἐκείνῳ τοῦ λόγου τῷ κεφαλαίῳ περιλαμβάνουσιν οἱ παλαιοί, καθὸ περὶ τῶν προκαταρχόντων αἰτίων διεξέρχονται. [15]

18b 19 πλειόνων γὰρ ὄντων ἐν τούτοις γενῶν ἓν ἐξ αὐτῶν ἐστιν καὶ ἡ λύπη. λυποῦνται δὲ οἱ μὲν ἀποθανόντων τέκνων ἢ οἰκείων ἢ συγγενῶν ἢ φίλων, οἱ δὲ προσδοκῶντες ἑαυτοὺς ἢ μόνους παθεῖν ἢ καὶ τὴν πατρίδα πᾶσαν ἀνάστατον ἔσεσθαι· λυποῦνται δὲ καὶ οἱ φιλοχρήματοι χρημάτων στερούμενοι καὶ οἱ φιλότιμοι τιμῆς καὶ τῶν ἄλλων ὡς ἕκαστος. ἐκ τούτων οὖν εἰσι καὶ οἱ δι' ἔρωτα λυπούμενοι θεῖον οὐδὲν πεπονθότες, ἀλλ' ἀνθρώπινον πάθος, εἰ μὴ ἄρα τις οὕτως πείθεται τοῖς μυθολογουμένοις, ὡς νομίζειν ὑπὸ δαίμονός τινος μικροῦ καὶ νεογενοῦς λαμπάδας ἔχοντος καιομένας εἰς τοῦτο ἄγεσθαι τὸ πάθος ἐνίους τῶν ἀνθρώπων. ὁ δὲ τὸ τῶν κρισίμων γένος ἡμερῶν εἰπὼν εἶναι θεῖον ἑαυτοῦ τι πάθος ὡμολόγησεν, οὐ μὴν Ἱπποκράτους γε τὴν γνώμην ἔδειξεν· οὔτε γὰρ ἁπλῶς ὅσα τὰς αἰτίας ἀγνώστους ἢ παραλόγους ἔχει, θεῖα προσαγορεύομεν, ἀλλ' εἴπερ ἄρα, θαυμαστὰ μόνον, οὔθ' Ἱπποκράτης ἠγνόει τὰς αἰτίας τῶν κρινουσῶν ἡμερῶν, ὡς ἐν τοῖς Περὶ κρισίμων ἡμερῶν ὑφ' ἡμῶν ἐπιδέδεικται. [10]

18b 20 ὅπερ οὖν εἶπον ἔμπροσθεν, ὡς οὐ χρὴ μνημονεύειν ἐν τοῖσδε τοῖς ὑπομνήμασι τῶν μοχθηρῶς εἰρημένων ἁπάντων, ἀλλ' ὅσα πιθανοῦ τινος ἔχεται (διὸ καὶ τὰ κακῶς ὑπὸ Ἡροφίλου γεγραμμένα πρὸς τὰς Ἱπποκράτους προγνώσεις ἀνεβαλλόμην ἐπισκέψασθαι), τοῦτο καὶ νῦν καὶ καθ' ὅλον τὸν ἐφεξῆς λόγον αὐτός τε ποιήσω καὶ τοὺς ἐντυγχάνοντας ἀξιώσω πράττειν, ὡς μὴ μέμφεσθαί μοι παραλείποντι πολλὰ τῶν τοῖς ἐξηγηταῖς εἰρημένων μοχθηρῶς. εἰ δὲ ἐπιμελῶς ἀναγνώσονται τὰ πρὸς ἡμῶν εἰρημένα, δυνήσονται καὶ καθ' ἑαυτοὺς ἐκεῖνα δοκιμάζειν. ἐάσαντες οὖν ἤδη τοὺς ληρήσαντας ὑπὲρ τοῦ θείου πειραθῶμεν αὐτοὶ κατὰ τὴν Ἱπποκράτους γνώμην εὑρεῖν τὸ λεγόμενον. ὅτι μὲν οὖν ἕν τι τῶν κατὰ τὴν ἰατρικὴν τέχνην εἶναι χρὴ τὸ θεῖον τοῦτο καὶ μὴ μόνον ἐπηνῆσθαι τὴν γνῶσιν αὐτοῦ πρὸς Ἱπποκράτου c, ἀλλὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ δεδεῖχθαι, πρόδηλον παντί. ληρώδης γὰρ ἂν εἴη συγγραφεὺς ἐπαινῶν πράγματος γνῶσιν, οὗ μηδ’ ὅλως ἐδίδαξεν· ὥστε τῶν ὑφ’ Ἱπποκράτους γεγραμμένων ἕν τι καὶ τὴν τοῦ θείου πρόγνωσιν εἶναι χρή. [15]

18b 21 λέγωμεν οὖν ἤδη θαρροῦντες οὐκ ἄλλο τι τοῦτ’ εἶναι παρὰ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κατάστασιν, ὑπὲρ ἧς ἐν Ἀφορισμοῖς οὕτως ἔγραψεν· “ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξεῖς καὶ ὀφθαλμίας καὶ δυσεντερίας γίνεσθαι, μάλιστα τῇσι γυναιξὶ καὶ τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας.” ταῦτα καὶ τὰ τούτοις ἐφεξῆς γεγραμμένα προγνώσεις εἰσὶ τῶν ἐκ τῆς τοῦ περιέχοντος αἰτίας ἐν ἡμῖν γινομένων, ὑπὲρ ὧν ἐν μὲν τοῖς Ἀφορισμοῖς ἐν κεφαλαίοις βραχέσιν ἐδίδαξεν, ἐν δὲ τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις ἐπὶ πλεῖστον διῆλθεν, ἐν μέντοι τῷ Προγνωστικῷ τῷδε παρέλιπε καίτοι ταύτης τῆς θεωρίας ὄντα. βέλτιον οὖν ἦν ἐζητηκέναι τὴν αἰτίαν τοῦ παραλιπεῖν τὸ θεῖον λέγειν τοῦ ψευδῶς ἐξηγεῖσθαι. δοκεῖ δέ μοι διὰ τὸ μέγεθος τῆς πραγματείας μὴ προσθεῖναι τῷδε τῷ βιβλίῳ τὴν περὶ τῶν ἐπιδημίων νοσημάτων διδασκαλίαν. συντελέσας γοῦν αὐτὸ κατὰ τὴν τελευτὴν ἔγραψε ταυτί· “χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων ἀεὶ τῶν ἐπιδημεόν των ταχέως ἐνθυμέεσθαι καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάστασιν. [15]

18b 22 ” ὅτι μὲν οὖν χρὴ γινώσκειν τὸν ἰατρόν, εἴπερ τι καὶ ἄλλο τῶν εἰς τὰς προγνώσεις διαφερόντων, οὕτως καὶ τὸ περὶ τῆς τῶν ἐπιδημίων νοσημάτων γενέσεως ἐδήλωσεν, ἰδίαν δὲ αὐτοῖς ἀνέθηκε διδασκαλίαν, ἐν Ἀφορισμοῖς μέν, ὡς εἴρηται, διὰ βραχέων κεφαλαίων διδάξας, ἐν δὲ τοῖς τῶν Ἐπιδημιῶν ἐπὶ πλέον ἐξεργασάμενος· ὅθεν εἰκότως ἔνιοι τῶν ἐξηγητῶν ἐφεξῆς τῷδε τῷ βιβλίῳ τὰ τῶν Ἐπιδημιῶν ἐξηγήσαντο· καὶ ἡμεῖς οὕτως ποιήσομεν. Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμας ι · πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντο c , εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντω ν , μάλιστα δὲ εἰ αὐτὸ ἑωυτέῳ · οὕτως γὰρ ἂν εἴη ἄριστο ν . τὸ δὲ ἐναντιώτατον τοῦ ὁμοίου δεινότατο ν . Ὅτι μὲν οὖν ὁ λόγος αὐτῷ περὶ τῶν ὀξέων νοσημάτων ἐν τούτῳ τῷ βιβλίῳ γεγένηται, σαφῶς ἐδήλωσεν. [14]

18b 23 ἄρχεται δὲ τῆς διδασκαλίας ἀπὸ τῶν κατὰ τὸ πρόσωπον σημείων ὡς ἂν πρώτων τε φαινομένων καὶ μεγάλην ἐχόντων δύναμιν. ὅτι μὲν οὖν πρῶτα φαίνεται ταῦτα, πρόδηλον παντί· ὅτι δὲ καὶ μεγάλην ἔχει δύναμιν εἰς πρόγνωσιν, ἐφεξῆς μαθήσῃ. πρῶτον δ’ ἀναμνήσθητί μοι τοῦ κοινοῦ τῆς τέχνης ὅλης αὐτοῦ προοιμίου γραφέντος ἐν τῷ Κατ’ ἰητρεῖον· “ἢ ὅμοια ἢ ἀνόμοια ἐξ ἀρχῆς· ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥηΐστων.” οὐ γὰρ αἱ προγνώσεις μόνον, ἀλλὰ καὶ αἱ τῶν ποιητέων ἐνδείξεις ἀπὸ τούτων ἄρχονται. περὶ μὲν οὖν τῶν ποιητέων ἐν τοῖς τῆς Θεραπευτικῆς μεθόδου εἴρηται γράμμασι, περὶ δὲ τῶν προγνώσεων ἐνταυθοῖ σκόπει πάλιν ἀναμνησθείς, ὡς οὐ τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ τὰ προγεγονότα καὶ τὰ νῦν ὄντα κατὰ τὸ σῶμα διά τινων σημείων εὑρίσκειν ἐκ τοῦ προγνωστικοῦ μέρους τῆς τέχνης ἔστιν. [10]

18b 24 ἀλλὰ τήν γε τῶν ἐνεστώτων γνῶσιν ἰδίᾳ προσηγορίᾳ καλεῖν εἰθίσμεθα διάγνωσιν. ἐπισκέπτεσθαι δὲ κελεύει τὸ πρόσωπον τοῦ νοσοῦντος ἐξ ἀρχῆς, εἰ ὅμοιον ἢ ἀνόμοιόν ἐστι τῷ τῶν ὑγιαινόντων, ἔτι δὲ μᾶλλον, εἰ αὐτὸ ἑαυτῷ. καὶ γὰρ καὶ τοῦτο τὸ σημεῖον τῶν Ἱπποκράτους δογμάτων ἐστίν, ὡς μὴ μόνον ἀπὸ τῆς κοινῆς φύσεως ἁπάντων, ἀλλὰ καὶ τῆς ἰδίας ἑκάστου σκέπτεσθαι πάντα τὰ κατὰ τὴν τέχνην. καὶ γὰρ ὁπότε παραβάλλειν ἠξίου τὰ πεπονθότα μόρια τοῖς ὑγιαίνουσι, συνεβούλευε ‘μὴ τὰ ἀλλότρια καθορᾶν, ἀλλὰ τὰ τοῦ πεπονθότος αὐτοῦ‘. ἄριστον μὲν οὖν ἐστι πρόσωπον ἀνθρώπου κάμνοντος, ὅταν ὁμοιότατον ἑαυτῷ διαμένῃ, χαλεπώτατον δέ, ὅταν ἐναντιώτατον γένηται. τὰ δὲ ἐν τῷ μεταξὺ τοῦ ἀρίστου τε καὶ χειρίστου οἷα, σὸν ἔργον ἤδη σκοπεῖσθαι, τῶν ἄκρων ἀφωρισμένων· τὰ μὲν γὰρ ἐγγυτέρω τοῦ ἀρίστου βελτίω, τὰ δὲ ἐγγυτέρω τοῦ χειρίστου χείρω, μέσα δὲ ἀμφοῖν ἐστι τὰ μηδετέρου πλέον ἀφιστάμενα. τὸ μὲν οὖν ἄριστον πρόσωπον ἑνὶ κεφαλαίῳ περιλαβὼν ἐδήλωσε (τὸ γὰρ ὁμοιότατον τῷ κατὰ φύσιν ἄριστον), τὸ δὲ ἐναντιώτατον ὡς ἂν οὐδὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύντροφον ἡμῖν ὑπάρχον οὐδὲ προγινωσκόμενον αὐτὸς ἐκ τῶν κατὰ μέρος ἐδίδαξε γνωρισμάτων, ὧν ἕκαστον ἰδίᾳ προχειριοῦμαι διὰ τῶν ἐφεξῆς γεγραμμένων. [15]

18b 25 Ῥὶς ὀξεῖ α . Τῶν κακῶν σημείων ἕν τι τοῦτο πρῶτον ἔγραψε, τὴν ὀξεῖαν ῥῖν α· χρὴ δὲ ὡς πρὸς τὴν κατὰ φύσιν ἑκάστου παραβάλλοντα, καθότι προείρηται, σκοπεῖσθαι· τοῦ τε γὰρ σιμοῦ φύσει φανεῖται πάντως ἡ ῥὶς ἑαυτῆς ὀξυτέρα, καθάπερ καὶ τοῦ γρυποῦ καὶ δηλονότι καὶ τοῦ τὴν εὐθεῖαν ἔχοντος. ἀλλὰ χρή σε μεμνημένον, εἰς ὅσον ἀποκεχώρηκε τῆς κατὰ φύσιν ἰδέας, εἰς τοσοῦτον μοχθηρὰν αὐτὴν εἶναι νομίζειν. ὀξυνομένη δὲ ἡ ῥὶς ἐναργῶς ὁρᾶται καὶ τοῖς ἐν χρονίᾳ νόσῳ καταλεπτυνθεῖσι καὶ τοῖς ὑπὸ καμάτου τεταλαιπωρημέ νοις ἢ ὁπωσοῦν ἐκλυομένοις ἢ λειποψυχοῦσι καὶ δὴ καὶ τοῖς τεθνεῶσιν ἅπασιν, ὥστε εἰκότως ἄν τις ἐπιλογίσαιτο τῷ κοινῷ πάντων ἀνθρώπων χρώμενος λόγῳ, μοχθηρὸν εἶναι τὸ σημεῖον ἐν κακῇ διαθέσει γινόμενον. [10]

18b 26 ἥτις δέ ἐστιν ἡ διάθεσις αὕτη, καθ’ ἣν ἡ ῥὶς ὀξύνεται, δογματικῆς ἤδη θεωρίας ἔργον ἀναλογισμῷ μόνῳ φωραθῆναι δυναμένης. ἀλλὰ πρῶτον ἐπιλογιστικῶς ὑπὲρ ἑκάστου τῶν εἰρημένων σημείων σκεψώμεθα· πολὺ γὰρ ἄμεινόν ἐστι διὰ συμφωνουμένου καὶ κοινοῦ πάντων ἀνθρώπων λόγου ποιήσασθαι τὴν πρώτην διδασκαλίαν ἤπερ εὐθέως ἐπὶ τὸν ἀναλογισμὸν ἔρχεσθαι. Ὀφθαλμοὶ κοῖλο ι , κρόταφοι συμπεπτωκότε ς , ὦτα ψυχρὰ καὶ συνεσταλμένα καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρὸν καὶ περιτετα μένον καὶ καρφαλέον ἐὸν καὶ τὸ χρῶμα τοῦ σύμπαντος προσώπου χλωρὸν ἢ καὶ μέλαν ἐό ν . [10]

18b 27 Καὶ ταῦτα πάντα τὰ σημεῖα περὶ τὸ πρόσωπον γίνεται κατά τε τὰς χρονίας νόσους καὶ τοὺς καμάτους καὶ τὰς λειποψυχίας καὶ πολὺ μᾶλλον ἔτι κατὰ τοὺς θανάτους. εὐεπιλόγιστον οὖν ἐστι τὰ ἀνόμοια τοῖς κατὰ φύσιν κακοῦ τινος εἶναι δηλωτικά, κειμένου γε τοῦ κατ’ ἀρχὰς εὐθέως ὁμολογουμένου, ὡς τὰ μὲν ἐναντιώτατα τοῖς κατὰ φύσιν ὀλέθρια, τὰ δὲ ὅμοια σωτηρίας ἐστὶ σημεῖα. ταῦτα μὲν οὖν ἐπιλογιστικῶς ἡμῖν ὑπὲρ αὐτῶν εἰρήσθω. σκεψώμεθα δ’ ἀκριβῶς ὑπὲρ ὅλης αὐτῶν τῆς φύσεως. γίνονται τοίνυν αἱ τοιαῦται διαθέσεις ἤτοι διά τινα αἰτίαν συντήκουσάν τε καὶ διαφθείρουσαν τὰ σαρκώδη μόρια τῶν ζῴων ἢ δι’ ἀρρωστίαν τῆς ἐμφύτου θερμασίας, μηκέτ’ ἀποτείνεσθαι δυναμένης αὐτῆς ἐπὶ τὰ πέρατα τοῦ σώματος, ἀλλ’ ἐν τοῖς σπλάγχνοις μόνοις ὀλίγης διασῳζομένης. [10]

18b 28 ἀκολουθεῖ δὲ τούτῳ δηλονότι καὶ τὸ μήθ’ αἵματος ἔτι μήτε πνεύματος ἐπιρρεῖν τοῖς ἄκροις τοῦ σώματος, ὅσον ἔμπροσθεν ἐπέρρει κατὰ φύσιν ἐχόντων. διὰ τοῦτο οὖν ἐν τῷ προσώπῳ φαίνεται μεγίστη σαφῶς ἡ τοῦ κατὰ φύσιν ἐξαλλαγή. παρακειμένων γὰρ ἀλλήλοις τῶν τε ὀστεΐνων μορίων καὶ τῶν ὑγροτέρων τε καὶ σαρκωδῶν, εἶτα τῶν μὲν ὀστεΐνων διὰ τὸ γεῶδες τῆς οὐσίας ὁμοίων διαμενόντων, τῶν δὲ ὑγροτέρων καὶ σαρκωδῶν συντήκεσθαί τε ῥᾳδίως δυναμένων καὶ συμπίπτειν εἰς ἑαυτὰ διά τε τὴν ἔνδειαν τοῦ πνεύματος καὶ τοῦ αἵματος εὐφωρατοτάτη ἡ διάθεσις γίνεται· τῆς μὲν γὰρ ῥινὸς περὶ τὰ καλούμενα πτερύγια μόνα σαρκοειδής ἐστιν ἡ οὐσία, τὸ δ’ ἄλλο πᾶν ὀστῶδες. εἰκότως οὖν, ὅταν ἤτοι τετηκὸς τὸ σαρκῶδες ἢ κενωθὲν συνιζήσῃ, τὸ πέρας αὐτῆς φαίνεται λεπτόν· οὕτω δὲ κἂν ψυχθῇ σφοδρῶς, ὃ δὴ τοῖς ἀποθνήσκουσιν ἤδη συμβαίνει. πιλουμένης γὰρ ἐν τῇ ψύξει τῆς οὐσίας τῶν σαρκωδῶν μορίων ἰσχνὴ κατ’ ἄκραν ἑαυτῆς εἰκότως γίνεται. καὶ μὴν οὐκ ἄλλην τινὰ ὀξεῖαν ὀνομάζομεν ῥῖνα πλὴν τῆς κατὰ τὸ πέρας ἰσχνῆς. [15]

18b 29 οὕτως μὲν οὖν ἡ “ῥὶς ὀξεῖα” φαίνεται, κοῖλοι δὲ οἱ ὀφθαλμοὶ διὰ τὰς αὐτὰς αἰτίας, ἀλλ’ ὅσῳ τῆς ἄκρας ῥινός εἰσιν ὑγρότεροί τε καὶ μαλακώτεροι, τοσούτῳ θᾶττον κοιλαίνονται. ἀλλὰ καὶ πνεύματος ψυχικοῦ παμπόλλου μετέχουσι καὶ θερμασίας οὐκ ὀλίγης, ὧν ἀπολειπόντων αὐτοὺς εἰκότως συστέλλονται· τοῦτο δ’ ἐστὶν ὀφθαλμῶν κοιλότης. οὕτω δὲ καὶ οἱ κρόταφοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμπίπτουσιν, ὅτι μόνοι τῆς ἄλλης κεφαλῆς ἔχουσι μῦς, οὓς ὀνομάζουσι κροταφίτας, ἡ δ’ ἄλλη πᾶσα κεφαλὴ παντάπασιν ἄσαρκός ἐστιν. ὦτα δὲ ψυχρὰ καὶ συνεσταλμένα, διότι χονδρώδη καὶ ἄσαρκα καὶ ὀλίγαιμά ἐστι· τάχιστα οὖν καταψύχεται παρεσκευασμένα πρὸς τὸ πάθος ὑπὸ τῆς οἰκείας φύσεως. διὰ τίνα δὲ αἰτίαν ἀποστρέφεσθαι συμβαίνει τοὺς λοβοὺς αὐτῶν; [ἢ] ὅτι μαλακωτέραν ἔχουσι τὴν οὐσίαν, οὐχ ὥσπερ τὸ ἄλλο σύμπαν, ὅπερ ἀκριβῶς λεπτὸς χόνδρος ἐστὶ λεπτῷ δέρματι σκεπόμενος· ὥστε ὑπὸ τῶν εἰρημένων ἔμπροσθεν αἰτιῶν οἱ λοβοὶ λεπτύνονταί τε καὶ συστέλλονται καὶ ξηραίνονται καὶ πήγνυνται.

18b 30 ταῦτα δὲ πάσχοντες ὀπίσω τείνονται μᾶλλον ἐπὶ τὰς ἀρχὰς τῶν τὴν αἴσθησιν αὐτοῖς παρεχόντων νεύρων· τὸ μὲν γὰρ σπᾶσθαι τοῖς ἱμαντώδεσιν ἅπασι ξηραινομένοις κοινόν, ἴδιον δ’ ἑκάστῳ τῶν ἐν τῷ σώματι μορίων ἐπ’ ἐκεῖνο τὸ μέρος διαστρέφεσθαί τε καὶ παρασπᾶσθαι μᾶλλον, ἔνθα τῶν ἐμφυομένων αὐτῷ νεύρων ἐστὶν ἡ ἀρχή. θεάσασθαι γοῦν ἔστι τοῦτο καὶ κατὰ τοὺς δακτύλους ἐναργῶς, ἐὰν μὲν ὁ ἔνδον τένων ὑπό τινος αἰτίας ταθῇ, καμπτομένους τοὺς δακτύλους σαφῶς, ἐὰν δὲ ὁ ἔξωθεν, ἐκτεινομένους. διὰ δὲ τὴν αὐτὴν ξηρότητά τε καὶ πῆξιν ὅλον τὸ δέρμα τὸ περὶ τὸ πρόσωπον πᾶν σκληρόν τε φαίνεται καὶ περιτεταμένο ν. ἐναργέστερον δὲ ὁρᾶται τὸ πάθος αὐτοῦ κατὰ τὸ μέτωπον, ὅτι σαρκοειδὴς οὐσία λεπτὴ κατὰ τοῦτο τὸ μέρος ὑποβέβληται τῷ δέρματι. πάσχει δὲ ὑπὸ τῶν εἰρημένων αἰτιῶν ἡ σαρκώδης φύσις μᾶλλον τῆς δερματώδους. ἡ δὲ τῆς χροιᾶς μεταβολὴ μοχθηροτάτη μέν ἐστιν ἡ ἐπὶ τὸ μέλαν ὡς ἂν ἀποψυχομένου τοῦ αἵματος, ὥσπερ ὅταν ἐκτὸς ἐκχυθὲν θρομβωθῇ, μετριωτέρα δὲ ἡ ἐπὶ τὸ χλωρό ν.

18b 31 εἰώ θασι δὲ οὕτως ὀνομάζειν οἱ παλαιοί ποτε μὲν τὸ ὠχρόν, ἐνίοτε δὲ ὡς οἱ πολλοὶ κράμβας τε καὶ θριδακίνας καλοῦσι χλωράς, ὅπερ χρῶμα μελάντερόν ἐστιν ἐρυθροῦ καὶ οἷον ἀρχή τις τοῦ μελαίνεσθαί τε καὶ πελιδνοῦσθαι ψύξεως ἐργαζομένης αὐτό, καθάπερ καὶ τὸ μέλαν. ὥστε εἰκότως καὶ τὸ πρόσωπον, ἐν ᾧ πάντ’ ἐστὶ τὰ προειρημένα, προσαγορεύεται νεκρῶδες εἶναι. καὶ τοῦτο ἐν μὲν τοῖς κεχρονισμένοις νοσήμασι πολλάκις ὁρᾶται γινόμενον, ὀλιγάκις δὲ ἐν ἀρχῇ. διὸ καὶ κινδυνωδέστατόν ἐστιν, ὡς ἂν μηδὲ τὴν ἀπὸ τοῦ χρόνου πρόφασιν ἔχον. ἐπὶ μακρῷ μὲν γὰρ χρόνῳ συντακῆναί τε τὸ σῶμα καὶ ψύχεσθαι τῶν ἀκρωτηρίων τινὰ θαυμαστὸν οὐδέν, ἐν ἀρχῇ δὲ καὶ μάλιστα ἐν ὀξεῖ νοσήματι πάντως ὀλέθριον, εἰ μὴ διά τινα αἰτίαν ἑτέραν εἴη τοιοῦτον γεγονός· ὁποῖαι δέ εἰσιν αἱ τοῦτο ποιεῖν δυνάμεναι, κατὰ τὴν ἑξῆς ῥῆσιν αὐτὸς ἐδίδαξε. νυνὶ δὲ ὃ χρὴ προσθεῖναί με παραλελεῖφθαι δοκοῦν ὑπ’ αὐτοῦ, πρότερον ἄκουσον. ὥσπερ γὰρ ἐν τοῖς χρονίοις νοσήμασι τοιοῦτον γίνεσθαι πρόσωπον οὐκ ἂν εἴη μεγάλως ὀλέθριον, οὕτως οὐδ’ ἐν ψυχρῷ χωρίῳ καὶ χειμῶνι καὶ καταστάσει ψυχρᾷ καὶ γεροντικῇ, καθάπερ ἐμάθομεν ἐν Ἀφορισμοῖς ὡς “ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης καὶ τῆς ἕξιος καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων ᾖ”.

18b 32 Ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου τὸ πρόσωπον τοιοῦτον ᾖ καὶ μήπω οἷόν τε ᾖ τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθα ι , ἐπανερέσθαι χρ ή , μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἰσχυρῶς ᾖ ἢ λιμῶδές τι ἔχῃ αὐτό ν . καὶ ἢν μέν τι τουτέων ὁμολογέ ῃ , ἧσσον νομίζειν δεινὸν εἶναι ( κρίνεται δὲ τὰ τοιαῦτα ἐν ἡμέρῃ τε καὶ νυκτ ί , ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ) , ἢν δὲ μηδὲν τουτέων φῇ 〈εἶναι〉 μηδὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστ ῇ , εἰδέναι χρὴ τοῦτο τὸ σημεῖον θανατῶδες ἐό ν . Ὀλέθριον μὲν ἐσχάτως ἐστὶ καὶ ἀνίατον νόσημα, καθ’ ὃ νεκρῶδες εὐθὺς ἐν ἀρχῇ τὸ πρόσωπον ἐγένετο χωρὶς τῆς ἔξωθεν αἰτίας.

18b 33 τούτου δ’ ἧττόν ἐστι κινδυνῶδες, εἰ διά τινα αἰτίαν προφανῆ, καθάπερ εἰ τύχοι διὰ σφοδρὰν ἀγρυπνίαν ἢ ἔνδειαν τροφῆς ἢ ῥεῦμα γαστρός· ἄμεινον μὲν γὰρ μηδ’ ὑπὸ τῶν τοιούτων αἰτίων ἐσχάτως καταλύεσθαι τὴν δύναμιν ἐν ἀρχῇ τοῦ νοσήματος, ἧττον δέ ἐστι κινδυνῶδες, εἰ διά τι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτων εἴη γεγονός, ἀλλὰ μὴ διὰ τὴν τοῦ νοσήματος κακοήθειαν. ἥτις δέ ἐστιν ἡ διάθεσις τοῦ σώματος, ἐν ᾗ τοιοῦτον ἀποτελεῖται τὸ πρόσωπον εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις, ἤδη σαφῶς σοι φράσω διὰ βραχέων. ὁπόταν ἀρρωστία τῆς καθεκτικῆς τοῦ ζῴου δυνάμεως εἰς ταὐτὸν ἀφίκηται λεπτότητι χυμῶν ἅμα θερμῷ πυρετῷ, δι' ἀρρωστίαν ἀποκρίνεταί τι συνεχῶς ἀόρατον ὑπὸ σμικρότητος ἔξω τοῦ δέρματος ὡσανεὶ λεπτομερῶν ἀπορρεόντων χυμῶν. ὁ δὲ πυρετὸς ἔτι δὴ καὶ μᾶλλον ἐκδαπανᾷ μὲν τοὺς λεπτοτάτους χυμούς, ἐπιλεπτύνει δὲ τοὺς ἧττον τοιούτους, ὡς μὴ διαλιπεῖν τὴν κένωσιν, ἀλλ' ἐοικέναι συνεχέσιν ἐμέτοις ἢ διαρροίαις γαστρὸς ἢ τῇ δι' οὔρων ἀμέτρῳ κενώσει.

18b 34 πλὴν ἐκεῖναι μὲν αἱ κενώσεις αἰσθηταὶ καὶ ταύτῃ διαφέρουσιν, ἣν δὲ νῦν ἐγὼ διηγησάμην, διὰ λεπτότητα τῶν κενουμένων ἀόρατός ἐστιν. οὔκουν οὐδὲ συνέστη ποτὲ τὸ τοιοῦτον πρόσωπον ἐπὶ φλεγματώδει νοσήματι, καθάπερ οὐδ' ἐπὶ πληθωρικῷ διὰ πλεονεξίαν αἵματος, ἀλλ' ἔνδειάν τε μᾶλλον εἶναι κατὰ τὸ σῶμα δεῖ καὶ κόπους τινὰς προηγεῖσθαι καὶ φροντίδας· ἐπὶ τούτων γὰρ ἀθροίζεται πικρόχολος χυμός. εἰ δὲ καὶ τὸ χωρίον εἴη θερμὸν καὶ ἡ ὥρα τοῦ ἔτους θερινὴ καὶ ἡ κατάστασις θερμὴ καὶ ξηρά, τότε δὴ καὶ μᾶλλον ἕτοιμον ἁλῶναι τοιαύτῃ διαθέσει, καὶ πολὺ μᾶλλον, εἰ χολωδέστερος ὁ ἄνθρωπος εἴη φύσει. καὶ μὴν καὶ ῥᾳδίως ἔνιοι διαφοροῦνταί τε καὶ διαπνέονται καὶ τὸ στόμα τῆς γαστρὸς ἔχουσιν ἀσθενές. ἅπερ εἰ καὶ αὐτὰ συνέλθοι τοῖς προειρημένοις, ἑτοιμότατον ἁλῶναι τὸ τοιοῦτον σῶμα τῇ τὸ νεκρῶδες πρόσωπον ἐργαζομένῃ διαθέσει. ταῦτ' οὖν γινώσκων τις οὐκ εἰς πρόγνωσιν μόνον, ἀλλὰ καὶ εἰς θεραπείας εὕρεσιν ποδηγηθήσεται σκοπὸν ἔχων στηρίζειν τὴν δύναμιν εὐστομάχοις τροφαῖς.

18b 35 ἀλλὰ τοῦτο μὲν ὁδοῦ τι πάρεργον οὐ σμικρὸν εἰρήσθω. περὶ δὲ τῶν ἔξωθεν αἰτίων ἐπισκεπτέον ἀκριβέστερον. ἔστι δὲ ὧν μὲν αὐτὸς ἐμνημόνευσεν ὀνομαστὶ λιμὸς καὶ ἀγρυπνία καὶ διάρροια. προσθεῖναι δ' ἔξεστί σοι καὶ τὰ τούτοις ὅμοια, κένωσιν ἄμετρον αἵματος ἐκ ῥινῶν ἢ μήτρας ἢ αἱμορροΐδος ἢ τραύματος ἢ ὁπωσοῦν ἑτέρως, ἔτι τε λύπην σφοδράν, ἐφ' αἷς τισιν 〈ἂν〉 αἰτίαις συστῇ. τάχα δ' εὔλογον ταύτην ὑπολαμβάνειν εἰρῆσθαι δυνάμει πρὸς Ἱπποκράτους ἐν τῷ τῆς ἀγρυπνίας λόγῳ. γίνεται μὲν γὰρ καὶ δι' ἄλλας αἰτίας ἀγρυπνία, γίνεται δὲ καὶ διὰ λύπην, ὡς ἐπὶ πλέον ἥκειν λύπης ἀγρυπνίαν καὶ διὰ τοῦτο περιέχειν αὐτὴν εἰκότως λεχθήσεται. οὕτω δὲ καὶ ἡ γαστὴρ ἰσχυρῶς ὑπελθοῦσα παράδειγμά σοι πάσης ἀμέτρου κενώσεως ἔστω. τῷ γε μὴν ἐπιμελῶς τοῖς ἔργοις τῆς τέχνης ὡμιληκότι καὶ τρίβωνι τῆς ἑκάστου τῶν πραγμάτων ἰδέας ἐμφαίνεται πολλάκις ἡ ποιήσασα τὸ τοιοῦτον πρόσωπον αἰτία. δύσρητα δ' αὐτῶν ἐστι τὰ γνωρίσματα, καὶ διὰ τοῦτο διδάσκειν αὐτὰ λόγῳ, κἂν εἰδῶσιν, οἱ πολλοὶ τῶν ἰατρῶν ἀφίστανται.

18b 36 πρὸς ἡμῶν δὲ εἴρηται πάντα κατὰ τὰς οἰκείας πραγματείας, ὥστε καὶ σὺ μαθὼν αὐτὰ δυνήσῃ ποτὲ καὶ αὐτὸς εἰσελθὼν πρὸς τὸν ἄρρωστον ἀποφήνασθαι περὶ τῆς τὸ τοιοῦτον πρόσωπον ἐργασαμένης αἰτίας, καὶ μᾶλλον εἰ τὴν προηγησαμένην ἅπασαν δίαιταν εἰδείης τοῦ κάμνοντος ἐπεσκεμμένος τέ τι περὶ τῆς κράσεως εἴης αὐτοῦ καὶ πολὺ μᾶλλον, εἰ καὶ τῆς τῶν ἀρτηριῶν κινήσεως ἐμπειρίαν ἔχοις, ἔτι τε τῆς τοῦ πυρετοῦ ποιότητος. ὑποκείσθω γάρ τις ἕνεκα παραδείγματος ὥρᾳ θέρους ἐν καταστάσει θερμῇ καὶ ξηρᾷ χολώδης φύσει νεανίσκος ἐκ ταλαιπωρίας τε καὶ ἐνδείας καὶ λύπης ἠργμένος νοσεῖν, ἔστω δὲ αὐτοῦ καὶ ἡ θερμασία δάκνουσα σφοδρῶς τὴν ἁφὴν ἡμῶν, τὸ δὲ οὖρον χολῶδες ὅ τε σφυγμὸς ἀρρωστίαν δυνάμεως ἐνδεικνύμενος· ὑπόπτευσον τὸν τοιοῦτον ἐν τῇ προκειμένῃ κατὰ τὸν λόγον τόνδε γενήσεσθαι καταστάσει, δι' ἣν τὸ πρόσωπον ἐν τάχει νεκρῶδες ἕξει, μὴ φθάνων γε προσηκόντως τρέφεσθαι. μὴ τοίνυν ἔστω ταῦτα περὶ τὸν κάμνοντα μήτε προγεγονότα μήτε κατὰ τὴν πρώ την καὶ δευτέραν ἡμέραν πεφηνότα, τῇ τρίτῃ δὲ ἀφικομένῳ σοι φαινέσθω τὸ πρόσωπον οἷον εἴρηται νῦν ὑφ' Ἱπποκράτου c.

18b 37

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἴσθι τοῦτον ἐπί τινι τῶν ἔξωθεν αἰτίων οὕτω πεπονθότα διάσκεψαί τε παρὰ σαυτῷ τί ποτε μᾶλλον αὐτῷ ἐνδέχεται γεγονέναι, πότερον ἔκκρισίν τινα πολλὴν ἢ ἀγρυπνίαν. ἐπ’ ἐνδείᾳ μὲν γὰρ οὐδ’ ἂν ἐγένετο τοιοῦτος ὁ ἄνθρωπος ἄνευ τοῦ τά τε προηγησάμενα τῆς νόσου τοιαῦτα ὑπάρχειν, οἷα λέλεκται, καὶ τὴν φύσιν εἶναι τοιοῦτον, οἷος εἴρηται. εἰ μὲν οὖν κατὰ τὴν προτέραν αὐτὸς ἑωρακὼς εἴης αὐτόν, οὐδ’ ἂν ἔλαθέ σε μέλλουσα γενήσεσθαι πολλή τις ἔκκρισις αὐτομάτη. βεβαιότατα γὰρ αὐτῆς ἐστι τὰ γνωρίσματα καὶ λέλεκται πρὸς ἡμῶν ἔν τε τοῖς Περὶ κρίσεων ὑπομνήμασι καὶ τοῖς 〈Περὶ〉 τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, ὥστε ἐξέσται σοι παραχρῆμα θεασαμένῳ τὸν ἄνθρωπον ἀποφήνασθαι σφοδρὰν ἀγρυπνίαν γεγονέναι. καὶ γὰρ δὴ καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ θεάσῃ ξηροὺς ἱκανῶς ἐπὶ ταῖς ἀμέτροις αἰσθηταῖς κενώσεσιν οὐ γινομένους τοιούτους ὥσπερ ἐπὶ ἀγρυπνίαις. ὄψει δὲ καὶ τὰ βλέφαρα δυσχερῶς ἀνατεινόμενα καὶ τοιαύτην ἔχοντα τὴν ἰδέαν ἐν τῷ καταφέρεσθαι καὶ ἀστήρικτα ὑπάρχειν, οἷα τοῖς κωματώδεσι γίνεται.

18b 38 καὶ μὲν δὴ καὶ πρῶτόν σοι τότε φαινομένου τοῦ κάμνοντος, ἔμπροσθεν δὲ οὐδ’ ὅλως ἑωραμένου, τά τε τοιαῦτα γνωρίσματα καὶ τὰ τῶν σφυγμῶν ἐνδείξεταί τινα διάκρισιν, ἐπὶ μὲν ἀμέτροις ἐκκρίσεσι σῴζοντός τι κἂν ὀλίγον ἔτι γνώρισμα τῆς ἰδέας τοῦ δηλοῦντος αὐτάς, ἐπὶ δὲ ταῖς ἀγρυπνίαις χορδῆς τεταμένης ἔμφασιν ἔχοντος. τῷ δ’ ἐξ ἐνδείας μόνης εἰς τὴν εἰρημένην τοῦ προσώπου διάθεσιν ἀφικομένῳ τῶν εἰρημένων γνωρισμάτων οὐδέτερα πάρεστιν, οὔτε τὰ τῆς ἐκκρίσεως οὔτε τὰ τῆς ἀγρυπνίας, ὥστε ἐκ συμβεβηκότων μᾶλλον ἤπερ ἐξ οἰκείων σημείων ἐπ’ ἐκείνων ἡ πρόγνωσις ἔσται σοι τοῦ δι’ ἔνδειαν τροφῆς εἰς τοιαύτην αὐτὸν ἧχθαι διάθεσιν. ἔτι δὲ μᾶλλον, ἐὰν ὁ πυρετὸς τὴν ἰδιότητα τῆς διαφορητικῆς θερμασίας ἀκριβῶς ἐπισκεπτομένῳ σοι μὴ προσβάλῃ, ὡς, ἐάν γε φαίνηται τοιαύτη, δι’ ἐκείνην μᾶλλον ἤ τι τῶν ἔξωθεν ὑποπτεύειν ἰσχνὸν οὕτως γεγονέναι τὸ πρόσωπον.

18b 39 χρονίζειν δὲ προσῆκεν ἁπτόμενον ὅλην τὴν χεῖρα περιβάλλοντα μὴ τῷ καρπῷ μόνον τοῦ κάμνοντος, ἀλλὰ καὶ τοῖς ἀνωτέρω μορίοις ἀκριβῶς προσέχοντα τὸν νοῦν, εἰ μὴ δριμεῖα μόνον ἐστίν, ἀλλὰ καὶ συναναφέρει πολλὴν οὐσίαν ἅμα ἑαυτῇ σωματοειδῆ, καθάπερ τινὰ φλόγα, διεξερχομένην τό τε δέρμα τῆς σῆς χειρός, ᾗ ψαύεις τοῦ τοῦ κάμνοντος δέρματος, ἐγκαταβαίνουσάν τε σαφῶς τῷ βάθει. τοιοῦτοι γάρ εἰσιν οἱ τὸ προειρημένον πρόσωπον ἐργαζόμενοι πυρετοί. ταῦτα δέ, ὡς ἔφην, δύσρητα μέν ἐστιν, οὐ μὴν ἄρρητά γε παντάπασιν οὐδὲ δυσδιάγνωστα τοῖς γυμνασθεῖσιν ἀμφ’ αὐτὰ καὶ πολλάκις ὑπ’ ἐμοῦ τεθεαμένοις τὰ τοιαῦτα προλεγόμενα πάντα καὶ πολὺ μᾶλλον ἀσκοῦσι γνωρίζειν, ὅσα ἐπὶ τῶν ἔργων διὰ τῶν προγνωστικῶν ἐδιδάχθησαν πραγματειῶν, ἐκ μὲν τοῦ θεάσασθαι τὰ προλεγόμενα τὸ δυνατὸν αὐτῶν ἔργῳ μεμαθηκότες, οὐ προαπογινώσκοντες δέ, ἃ ἐν ἀρχῇ φαίνεται δυσδιάγνωστα· διδύμους γὰρ ἀδελφοὺς ὁμοιοτάτους μὲν ἅπαξ ἢ δὶς θεασάμενός τις οὐ διαγινώσκει, τῶν δ’ οἰκείων οὐδεὶς ἀγνοεῖ. ταῦτα μὲν οὖν εἰ ῥήσθω μοι προτροπῆς ἕνεκα τῶν νέων καὶ μᾶλλον ὅσοι μὴ τεθέανται προλεγόμενα τὰ τοιαῦτα πάνθ’ ὑφ’ ἡμῶν.

18b 40 οὐ γὰρ μόνον δι’ ἀγρυπνίαν ἔχουσιν εἰπεῖν, ἀλλὰ καὶ διὰ λύπην ἐπὶ τῷδέ τινι γεγενημένην. οὐδὲ γὰρ Ἐρασίστρατος ἰδὼν κόρακας ἢ κορώνας πετομένας ἐφώρασε τὸν ἔρωτα τοῦ νεανίσκου, οὐ μὴν οὐδ’, ὥς τινες ἔγραψαν, ἐρωτικὸν σφυζουσῶν ᾔσθετο τῶν ἀρτηριῶν τοῦ νεανίσκου (οὐδεὶς γάρ ἐστι σφυγμὸς ἴδιος ἔρωτος ἐξαίρετος), ἀλλ’ ὥσπερ κἀμοί ποτε ἐφάνη τῷ καρπῷ μὲν ἐπιβεβληκότι τοῦ νοσοῦντος τὴν χεῖρα, γυναικὸς δέ τινος ὀφθείσης τῶν κατὰ τὴν οἰκίαν, αὐτίκα μὲν ἀνώμαλός τε καὶ ἄτακτος γενόμενος, ὀλίγῳ δὲ ὕστερον εἰς τὸ κατὰ φύσιν ἐπανελθὼν ἅμα τῷ ἀναχωρῆσαι τὴν ὀφθεῖσαν. ὁ γὰρ οὕτω τρεπόμενος σφυγμὸς κοινὸν ἐνδείκνυται ταραχῶδές τι πάθος ἐν τῇ τοῦ κάμνοντος γεγονέναι ψυχῇ. τὸ δὲ ταραχῶδες τοῦτο διακρίνειν προσήκει διὰ τῶν ἅμα αὐτῷ λεγομένων ἢ ὁρωμένων. καὶ γὰρ αὖ καὶ λεγομένων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινῶν εἰς ἀνωμαλίαν οἱ σφυγμοὶ τρέπονται, τῶν ἀρρώστων ταραττομένων ἐφ’ οἷς ἤκουσαν.

18b 41 ἀλλὰ περὶ μὲν τούτων ἰδίᾳ μοι γέγραπται κατὰ μίαν πραγματείαν, ἣ Περὶ τοῦ προγινώσκειν ἐπιγέγραπται. νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἦν δὲ προκείμενον, ὅτι πολλὰ τῶν προγεγονότων τε καὶ παρόντων ἰατρὸς δύναται παρὰ τοῖς κάμνουσι λέγων θαυμάζεσθαι, καθάπερ καὶ τὰ [νῦν] προκείμενα κατὰ τὸν νῦν λόγον, ἀγρυπνίαν, διάρροιαν, λιμόν. ἐνίοτε δὲ τὸ μὲν ἓν ἐξ αὐτῶν ἀφωρισμένως εἰπεῖν δύσκολον γίνεται, ποτὲ δ’ ἐκ τῶν δυοῖν θάτερον ἢ ἐκ τῶν τριῶν γε πάντως ἕν τι δυνατὸν ἔσται βεβαίως προγνῶναι. φέρει δὲ καὶ τοῦτο παρὰ τοῖς ἀκούσασιν ἔπαινον, ἐν ἐπερωτήσει τῆς προγνώσεως γινομένης ὡδί πως· ἆρά γε δι’ ἀγρυπνίαν σφοδρὰν ἢ ἔνδειαν τροφῆς οὕτω λελέπτυνται; πολλάκις γὰρ ὁμολογοῦσιν ἀμφότερα καὶ θαυμάζουσι διττῶς τὸν ἰατρόν, ἐνίοτε δὲ τὸ ἕτερον αὐτῶν ἀποκρίνονται θαυμάζοντες ἔτι καὶ οὕτως. τοῦτ’ οὖν ἐστι τὸ πρὸς Ἱπποκράτους εἰρημένον· ἐπανερέσθαι δὲ χρ ή , μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος ἢ πολλὰ διεχώρησεν ἢ λιμώττει.

18b 42 εἶτα τί φησιν; καὶ ἢν μέν τι τουτέων ὁμολογέ η , ἧσσον νομίζειν δεινὸν εἶνα ι· δεόντως· βέλτιον μὲν γὰρ ἦν οὕτως ἰσχυρὰν εἶναι τὴν δύναμιν, ὡς ὑπὸ μηδενὸς τῶν ἔξωθεν αἰτίων νικᾶσθαι, ἧττον μέντοι δεινόν, εἰ διά τι τούτων καὶ μὴ διὰ τὴν τοῦ νοσήματος κακοήθειαν ἡ τοσαύτη γίνεται σύντηξις. ἀλλ’ ἐπειδὴ δυνατόν ἐστιν ἄμφω συνελθεῖν, αἰτίαν τέ τινα τῶν ἔξωθεν, ὡς εἴρηται, λυποῦσαν τὸ σῶμα καὶ πυρετὸν συντηκτικόν, ὁ διορισμός σοι γινέσθω διὰ τῆς ἐπιούσης ἡμέρας τε καὶ νυκτός. εἰ μὲν γὰρ ἀπὸ μόνης τῆς ἔξωθεν αἰτίας εἴη γεγονὸς οἷον εἴρηται τὸ πρόσωπον, ἐπανορθώσεως ἐν ἡμέρᾳ καὶ νυκτὶ τεύξεται, εἰ δὲ ἀπὸ τῆς ἐν τῷ σώματι διαθέσεως, ἤτοι μενεῖ τοιοῦτον ἢ καὶ χεῖρον ἔσται. ταυτὶ μὲν οὖν ἅπαντα φαίνεται δεόντως εἰρῆσθαι τῷ Ἱπποκράτε ι. διὰ τί δὲ εἶπεν ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον τοιοῦτον ᾖ καὶ μήπω οἷόν τε τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθα ι, ἐφεξῆς σκεψώμεθα. δυοῖν γὰρ θάτερον, ἢ ὡς οὐ γινομένων αὐτῶν ἐν ἀρχαῖς ἢ ὡς οὐδὲν βέβαιον δηλούντων, οὐχ οἷόν τέ ἐστι χρῆσθαι τοῖς τοιούτοις σημείοις εἰς τοὺς τῶν ἀμφιβόλων διορισμούς.

18b 43 ἐγὼ τοίνυν φημὶ μήτε γίνεσθαι διὰ παντὸς ταῦτα μήτε, εἰ γίνοιτο, βέβαιον δηλοῦν. ὅτι δὲ οὕτως τοῦτ’ ἔχει, κατὰ τὴν ἐξήγησιν αὐτῶν διδάξω διὰ τῆς ἐχομένης ῥήσεως. Ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου τὸ πρόσωπον τοιοῦτον ᾖ , περὶ τουτέων ἐπανερέσθα ι , περὶ ὧν καὶ τὸ πρόσθεν ἐκέλευς α , καὶ τἄλλα σημεῖα σκέπτεσθαι τά τε ἐν τῷ σύμπαντι σώματι καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσι ν . Τὸ τῆς “ἀρχῆς” ὄνομα δηλοῖ μὲν καὶ τὴν πρώτην εἰσβολὴν τοῦ νοσήματος οὐδὲν οὔπω πλάτος ἔχουσαν, δηλοῖ δὲ καὶ τὴν εἴς τινα χρόνον ἐκτεταμένην οὐ πολὺν τοῦτον, ἔτι τε πρὸς τούτοις τὸν πρῶτον καιρὸν τοῦ νοσήματος, ἐφ’ ᾧ καὶ δεύτερον ἀριθμοῦσι τὸν τῆς ἀναβάσεως καὶ τρίτον τὸν τῆς ἀκμῆς καὶ τέταρτον τὸν τῆς παρακμῆς. εἰπὼν οὖν ὁ Ἱπποκράτης ὀλίγον ἔμπροσθεν “ἢν μὲν οὖν ἐν ἀρχῇ.

18b 44 τῆς νόσου τὸ πρόσωπον τοιοῦτον ᾖ”, κατ’ ἐκείνην μὲν αὐτὴν τὴν λέξιν οὐκ ἐδήλωσε, τίνος τῶν εἰρημένων τριῶν ἀρχῶν μνημονεύει. νυνὶ δὲ γράψας ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου τὸ πρόσωπον τοιοῦτον ᾖ, δῆλος ἐγένετο περὶ τῆς κατὰ πλάτος ἀρχῆς προειρηκώς· αὕτη γὰρ ἄχρι τῆς τρίτης ἡμέρας ἐκτείνεται. τηνικαῦτα οὖν οἷς εἶπεν ἔμπροσθεν ἀξιοῖ προστιθέναι τὸν ἀπὸ τῶν ἄλλων σημείων διορισμόν, ὑπὲρ ὧν εἰρήκει “καὶ μήπω οἷόν τε τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι”. καταλέγει δὲ ἐφεξῆς αὐτὰ διὰ τῶν ἐχομένων ῥήσεων. Ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν ἢ δακρύωσιν ἀπροαιρέτως ἢ διαστρέφωνται ἢ θάτερος θατέρου ἐλάσσων γίνηται ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν ἢ πελιδνὰ ἢ μέλανα φλέβια ἐν ἑωυτοῖσιν ἔχωσιν ἢ λημῶντες φαίνωνται περὶ τὰς ὄψιας ἢ ἐναιωρεύμενοι ἢ ἐξίσχοντες ἢ ἔγκοιλοι ἰσχυρῶς γι νόμενοι ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ᾖ , ταῦτα πάντα κακὰ νομίζειν εἶναι καὶ ὀλέθρι α .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18b 45 Τὰ εἰρημένα συμπτώματα κοινὸν μὲν ἔχει τὸ παρὰ φύσιν εἶναι, διαφέρει δ’ ἀλλήλων τῷ τὰ μὲν ἁπλῶς ἐναντία τοῖς κατὰ φύσιν ὑπάρχειν, ἔνια δέ, ὡς αὐτὸς εἶπεν ἔμπροσθεν, ἐναντιώτατα. διὸ καὶ κατὰ τὸν κοινὸν ἐπιλογισμὸν ἅπαντα μὲν ὀλέθρια νομισθήσονται, κατὰ δὲ τὴν ποσότητα τῆς ἐναντιώσεως ἧττόν τε καὶ μᾶλλον ἕξει τοῦτο. τάς γε μὴν διαθέσεις, ἐφ’ αἷς γίνεται, κατὰ τὴν ἀκολουθίαν τῶν Ἱπποκράτους δογμάτων ἄμεινόν ἐστιν ἑξῆς ἐπισκέψασθαι. τὸ τοίνυν φεύγειν τὴν αὐγήν, ὅπερ ἔστιν ἀποστρέφεσθαι, δι’ ἀσθένειαν γίνεται τῆς ὀπτικῆς δυνάμεως, ἐνίοτε μὲν ἐπὶ τῇ τῶν ὀργάνων διαθέσει καμνούσης, ὥσπερ ἐν ταῖς ὀφθαλ μίαις, ἐνίοτε δὲ αὐτῆς καθ’ αὑτήν, ἡνίκα ὀλέθριόν ἐστι τὸ σημεῖον.

18b 46 οὕτω δὲ καὶ τὸ δακρύειν, ἐὰν μὲν ἤτοι δι’ ὀφθαλμίαν ἢ διά τι ῥεῦμα καταφερόμενον ἐκ τῆς κεφαλῆς γίνηται, παρὰ φύσιν μέν ἐστιν, οὐ μὴν θάνατόν γε σημαίνει πάντως· ἐὰν δὲ δι’ ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως, ὀλέθριόν τέ ἐστι καὶ θανατῶδες. αἵ γε μὴν διαστροφαὶ τῶν ὀφθαλμῶν σπωμένων γίνονται τῶν κινούντων αὐτοὺς μυῶν. ὅπερ ἐὰν μὲν αὐτῶν ᾖ μόνων ἐκείνων πάθος, οὐδὲν ἄτοπον, ἐὰν δὲ τῆς ἀρχῆς τῶν νεύρων, ἧπέρ ἐστιν ὁ ἐγκέφαλος, ἐσχάτως ὀλέθριον. αἰσθάνονται γὰρ τῶν κατὰ τὴν ἀρχὴν παθημάτων οἱ πλησιάζοντες μύες πρότεροι τῶν ἄλλων, ἐνίοτε μὲν οἱ κατὰ τοὺς ὀφθαλμούς, ὑπὲρ ὧν νῦν λέγει, ποτὲ δὲ καὶ οἱ κροταφῖται καλούμενοι, περὶ ὧν ἐν τῷ Περὶ ἄρθρων ἐδίδαξε. καὶ μὴν καὶ τὸ γενέσθαι τινὰ τῶν ὀφθαλμῶν τοῦ κατὰ φύσιν ἐλάττω ὀλέθριον σύμπτωμα. νεκροῦσθαι γὰρ δηλοῖ τὴν διοικοῦσαν αὐτὸν δύναμιν. τὸ δὲ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἐρυθρὰ γίνεσθαι, καθάπερ ἐν ὀφθαλμίαις τέ τισι καὶ τῶν μεθυσθέντων ἐνίοις, ἐνδεικτικόν ἐστι τοῦ κατὰ τὸν ἐγκέφαλον καὶ μήνιγγας πλήθους, ἔστιν ὅτε μὴν καὶ φλεγμονῆς ἐν αὐτοῖς γεγενημένης· ἑκατέρως γὰρ ἀποθλίβεται τὸ αἷμα πρὸς τὰς ἐν τοῖς ὀφθαλμοῖς φλέβας.

18b 47 διὸ ἐρυθρὸν φαίνεται τὸ λευκὸν ἐν αὐτοῖς μέρος, ὅπερ ἐστὶ τὸ πέριξ τῆς στεφάνης ὀνομαζομένης, ἣν ἐμάθομεν ἐν ταῖς ἀνατομαῖς ἁπάντων τῶν κατὰ τὸν ὀφθαλμὸν ὑμένων τε καὶ χιτώνων σύνδεσμόν τινα οὖσαν. ἐμάθομεν δὲ καὶ ὡς τὸ τοῦ περικρανίου πέρας ἐπὶ ταύτην ἐξήκει μετὰ τῶν ἐν αὐτῷ φλεβῶν. ὅτι δὲ καὶ διὰ ταῦτα ἔφησε τὸ λευκὸν ἐρυθρὸν γίνεσθαι, σαφῶς ἐδήλωσε διὰ τῶν ἐπιφερομένων εἰπὼν ἢ πελιδνὰ φλέβια ἢ μέλανα τοὺς ὀφθαλμοὺς ἔχειν ἐν ἑαυτοῖ c. ἔστι δὲ τοῦτο πάντως ὀλέθριον. ἐρυθρὰ μὲν γὰρ φαίνεται τὰ φλέβια καὶ διὰ πλῆθος, ὡς ἔφην, ἤ τινα φλεγμονὴν τῶν κατὰ τὸν ἐγκέφαλον, μελαίνεται δὲ καὶ πελιδνοῦται ψυχόμενα, ψύχεται δὲ νεκρούμενα, καὶ διὰ τοῦτο ὀλέθρια τὰ τοιαῦτα χρώματα διὰ παντός ἐστιν. αἵ γε μὴν λῆμαι γίνονται μέν, ὡς ἴσμεν, καὶ διὰ τὸ τῶν ὀργάνων πάθος ἐν ὀφθαλμίαις τε καὶ ἄλλως οὐδένα κίνδυνον δηλοῦσαι, γίνονται δὲ καὶ δι’ ἀρρωστίαν τῆς διοικούσης τὰ κατὰ τὸν ὀφθαλμὸν δυνάμεως φυσικῆς ἀδυνατούσης ἐκπέττειν τὴν τροφὴν τῶν ὀφθαλμῶν· ἐδείχθη γὰρ ἡμιπέπτου τροφῆς ἡ λήμη περίττωμα.

18b 48 κατὰ μὲν οὖν τὰς ὀφθαλμίας διά τε τὸ πλῆθος τῆς παρὰ φύσιν ὑγρότητος καὶ διὰ τὸ πάθος τῶν ὀργάνων εἰκός ἐστι μὴ πέττεσθαι καλῶς τὴν τροφὴν αὐτῶν. ἔνθα δὲ ἔνδεια σαφής ἐστι δηλουμένη διὰ τῆς κοιλότητος, ἡ μὲν ἀπὸ τοῦ πλήθους αἰτία παντάπασιν οἴχεται, καταλείπεται δὲ ἡ τῆς δυνάμεως ἀσθένεια μόνη καὶ οὐδ’ ἡ τυχοῦσά τις αὕτη γε, ἀλλ’ ἰσχυρὰ πάνυ μηδὲ τὴν ὀλιγίστην τροφὴν τῶν ὀφθαλμῶν ἱκανῶς πέττειν ἰσχύουσα. οἵ γε μὴν ἐναιωρούμενοι, τοῦτ’ ἔστιν ἀστήρικτοι καὶ κινούμενοι διὰ παντὸς ὀφθαλμοὶ γνώρισμά εἰσιν ἢ παραφροσύνης ἢ τρόμου τῶν περὶ αὐτοὺς μυῶν, ὧν ἑκάτερον ἐπὶ τῆς προκειμένης διαθέσεως ὀλέθριόν ἐστιν. αἵ τε γὰρ μετ’ ἐνδείας παραφροσύναι χαλεπώταται καὶ οἱ διὰ ξηρότητα τῶν ὀργάνων τρόμοι παντάπασιν ἀνίατοι. καὶ μὴν καὶ τοὺς ἐξί σχοντας ὀφθαλμοὺς ἢ κοίλους ἰσχυρῶς γινομένους μέμφεται.

18b 49 τὸ μὲν οὖν τῶν ἐξισχόντων σύμπτωμα καὶ κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος γίνεται καὶ μάλιστα τοῖς ἐμέσασιν ἐπὶ πολυφαγίᾳ τε καὶ πολυποσίᾳ, τὰ δὲ τῶν ἰσχυρῶς ἐγκοίλων οὐ γίνονται,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διόπερ οὐδετέρου κατ’ ἀρχὰς ἐμνημόνευσεν, ἡνίκ’ ἔλεγε “ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι”, τοῦτο μὲν ὅτι μηδ’ ὅλως ἐν τῷ νεκρώδει προσώπῳ φαίνεται ἐν ἀρχῇ (πῶς γὰρ 〈ἂν〉 ἅμα κοῖλοί τε καὶ ἐξίσχοντες εἶεν ὀφθαλμοί;), τοῦτο δὲ ὅτι μηδ’ ὅλως γίνεται τηνικαῦτα. καὶ δόξει γε τὸ κατὰ τοὺς ἐξέχοντας ὀφθαλμοὺς μάχεσθαι τοῖς προειρημένοις· εἰρηκὼς γὰρ ἐπὶ τοῦ νεκρώδους προσώπου ‘ῥῖνα ὀξεῖαν, ὀφθαλμοὺς δὲ κοίλους‘, εἶτ’ ἐπιδιοριζόμενος αὐτὰ τοῖς μετὰ τὴν πρώτην ἢ τρίτην ὁρωμένοις οὐκ ὀρθῶς προσέθηκε τοὺς ἐξίσχοντα ς. ὃ δέ μοι δοκεῖ γεγονέναι κατὰ τόνδε τὸν λόγον ὑπ’ αὐτοῦ, καὶ δὴ φράσω μεταλαβὼν ὅλην αὐτοῦ τὴν ῥῆσιν εἰς τοιάνδε λέξιν· ‘ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου τὸ πρόσωπον τοιοῦτον ᾖ, περί τε τουτέων ἐπανερέσθαι, περὶ ὧν καὶ πρόσθεν ἐκέλευσα, καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ σύμπαντι σώματι καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν. [15]

18b 50 ἔστι δὲ τὰ γινόμενα σημεῖα ἐν τοῖς ὀφθαλμοῖς ὀλέθρια μετὰ τὴν τρίτην ἡμέραν τοιάδε· φεύγειν τὴν αὐγήν, δακρύειν, διαστρέφεσθαι, τὸν ἕτερον ὀφθαλμὸν ἐλάττονα γίνεσθαι θατέρου, τὰ λευκὰ μόρια κατ’ αὐτοὺς ἐρυθρὰ φαίνεσθαι, φλέβας ἔχειν ἤτοι μελαίνας ἢ πελιδνὰς ἢ λήμας εἶναι ἐναιωρεῖσθαί τε ἢ ἐξέχειν ἢ κοίλους ἰσχυρῶς εἶναι, τοῦ τε προσώπου παντὸς ἠλλοιῶσθαι τὸ χρῶμα. πάντα γὰρ ταῦτά ἐστιν ὀλέθρια καὶ ὅτιπερ ἂν αὐτῶν ἐπὶ τῷ προειρημένῳ γένηται προσώπῳ, τεκμήριον οὐ σμικρόν ἐστι τοῦ μέλλοντος ἔσεσθαι θανάτου.‘ κατὰ ταύτην οὖν τὴν διάνοιαν δοκεῖ μοι συγκαταριθμεῖσθαι τοῖς ἄλλοις σημείοις, ὅσα τῷ νεκρώδει προσώπῳ δύναται συνυπάρχειν, καὶ τοὺς ἐξέχοντας ὀφθαλμοὺς καὶ μὴ δυναμένους συνυπάρχειν, ὅτι μὴ μόνον προκείμενον ἦν αὐτῷ τὰ τῷ νεκρώδει προσώπῳ συνυπάρχοντα λέγειν, ἀλλὰ καὶ τῶν ὀλεθρίων σημείων, ὅσα κατὰ τὸ 〈σύμπαν〉 σῶμα φαίνονται, ποιήσασθαι κατάλογον. ὥστ’ εἰ μὴ μόνον ἕν, ἀλλὰ καὶ πλείω τῶν εἰρημένων δυνατὸν ἦν μὴ συνυπάρ ξαι τῷ νεκρώδει προσώπῳ, μηδεμίαν εἶναι μάχην ἐπὶ τὴν διδασκαλίαν αὐτοῦ τῶν μοχθηρῶν ἁπάντων μεταβεβηκότος. [15]

18b 51 ὅτι δέ, ὡς ἔφην, ὀρθῶς εἶπε “καὶ μήπω οἷόν τε ᾖ τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι”, σκοπεῖν ἤδη σοὶ 〈πάρεστιν〉 ἑνὶ μὲν κεφαλαίῳ κοινῷ τῷδε· ‘τῶν εἰρημένων ἕκαστον ἢ οὐ γίνεται κατ’ ἀρχὰς ἢ οὐκ ἐξ ἅπαντός ἐστιν ὀλέθριον.‘ ἰδίᾳ δὲ καθ’ ἕκαστον ἐπισκοπουμένῳ σοι φανεῖται τοῦτ’ ἀληθέστατον. ἐκ πολυποσίας γοῦν ἐνίοτε καὶ σφοδρῶν ἐμέτων ἐν ἀρχῇ τῶν νόσων συμβαίνει τὸ τὴν αὐγὴν φεύγειν, οὕτω δὲ καὶ τὸ δακρύειν καὶ διαστρέφεσθαι ἢ ἐναιωρεῖσθαι ἢ ἐξέχειν ἢ τὸ τὰς φλέβας ἐρυθρὰς ἔχειν. ἡ δ’ ἐπὶ τὸ πελιδνὸν ἢ μέλαν χρῶμα μεταβολὴ τῶν φλεβῶν οὐκ ἂν ἐν ἀρχῇ γίνοιτό ποτε, καθάπερ οὐδ’ ἡ ὑπερβάλλουσα κοιλότης οὐδὲ τὸ λημᾶν, ἀλλὰ τοὐλάχιστον ἤτοι τριῶν ἢ τεσσάρων ἡμερῶν εἰς τὸ γενέσθαι δεῖται. Σκοπεῖν δὲ ὧδε χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισι ν . [13]

18b 52 ἢν γάρ τι ὑποφαίνηται μὴ συμβαλλομένων τῶν βλεφάρων τοῦ λευκο ῦ , μὴ ἐκ διαρροίης ἢ φαρμακείης ἐόντι ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδει ν , φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρ α . Ἀπὸ τοῦ ὑποφαίνεσθαι ῥήματος τὴν ὑπόφασιν τοὔνομα πεποίηκεν, οὗ τὸ πληθυντικὸν αἱ ὑποφάσεις γίνονται, ἀφ’ ὧν κατὰ διαίρεσιν Ἰωνικὴν αἱ ὑποφάσιες. οἱ δὲ περὶ τὸν Ἀρτεμίδωρον καὶ Διοσκουρίδην οὐκ οἶδα πόθεν ὁρμηθέντες ἔγραψαν ὑποφαύσιας μετὰ τοῦ υ . τὸ μὲν οὖν εἰρημένον ὑφ’ Ἱπποκράτους δῆλόν ἐστιν· αὐτὸς γὰρ ἐξηγήσατο τί ποτε λέγει τὴν ὑπόφασιν εἰπών· ἢν γάρ τι ὑποφαίνηται μὴ συμβαλλομένων τῶν βλεφάρων τοῦ λευκο ῦ, ἀλλὰ καὶ διορισμὸν εἰς ἀκρίβειαν τοῦ λεγομένου προσέθηκεν αὐτὸς εἰπών· μὴ ἐκ διαρροίης ἢ φαρμακείης ἐόντ ι. [10]

18b 53 προσυπακούειν δέ γε καὶ ἡμᾶς ἄμεινόν ἐστι τῷδε ‘καὶ τῶν ἄλλων τῶν ἐχόντων τοῖσδε τὴν αὐτὴν δύναμιν‘. ἑνὶ γὰρ κεφαλαίῳ περιλαβὼν ἄν τις εἴποι τὸ σύμπτωμα τοῦτο διὰ ἀρρωστίαν γίνεσθαι τῆς κινούσης τὰ βλέφαρα δυνάμεως, ὅπερ ὀλέθριόν ἐστιν, ἐπειδὰν χωρὶς τῆς ἔξωθεν αἰτίας συστῇ. ταῦτα δ’ εἶναι χρὴ δηλονότι τοιαῦτα τὴν φύσιν, ὡς καταλύειν τὴν δύναμιν, οἷον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤτοι διάρροιαν ἢ κάθαρσιν ἐκ φαρμάκου καθαίροντος προσφορᾶς ἢ λύπην σφοδρὰν ἢ ἀγρυπνίαν ἢ ἔνδειαν τροφῆς ἢ αἱμορραγίαν πολλὴν ἤ τινα ἄμετρον ἁπλῶς ἑτέραν κένωσιν. ὃ δ᾽ ὀλίγον ἔμπροσθεν εἶπον, ὡς τῶν ὀλεθρίων σημείων ἁπάντων ποιεῖται κατάλογον, οὐ μόνον ὅσα πρὸς τῷ νεκρώδει προσώπῳ γίνεται, δῆλον ἐποίησεν ἐνταῦθα προσθεὶς μὴ ἐκ διαρροίης ἢ φαρμακείης ἐόντ ι. προειρήκει γὰρ ἐπὶ τοῦ νεκρώδους προσώπου τὸν διορισμὸν τοῦτον "ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἰσχυρῶς". τὸ γὰρ ἐξυγρασμένον τοῦτο κοινόν ἐστι διαρροίας τε καὶ φαρμακείας, ἀλλ᾽ ἐπειδὴ πάλιν ἀφ᾽ ἑτέρας ἀρχῆς ἁπάντων ποιεῖται τῶν ὀλεθρίων ση μείων ἐξαρίθμησιν, εἰκότως ἑκάστῳ τοὺς οἰκείους διορισμοὺς προστίθησι.

18b 54 Ἢν δὲ καμπύλον γένηται ἢ πελιὸν βλέφαρον ἢ χεῖλος ἢ ῥὶς μετά τινος τῶν ἄλλων σημείω ν , εἰδέναι χρὴ ἐγγὺς ἐόντα τὸν θάνατο ν . Τὰ μὲν οὖν πλεῖστα τῶν ἀντιγράφων οὕτως ἔχει τὴν ἀρχὴν τῆς ῥήσεως, ἔνια δὲ ἀντὶ τοῦ καμπύλου τὸ ῥικνόν, ἵν᾽ ᾖ τὸ δηλούμενον ἐκ τῆς φωνῆς ταύτης τὸ συνεσταλμένον ὁμοίως τοῖς κατεψυγμένοις ὑπὸ κρύους. τοῦτο μὲν οὖν νεκρώσεώς ἐστι σημεῖον ὥσπερ καὶ τὸ πελιδνόν, τὸ δὲ καμπύλον τάσεώς τινος σπασμώδους ἢ παραλύσεως θατέρου τῶν κλειόντων τὸν ὀφθαλμὸν μυῶν. ἑκάτερα δ᾽ ἐστὶν ὀλέθρια μαρτυρούμενα πρὸς τῶν ἄλλων σημείων, ὅπερ ἐδή λωσεν εἰπὼν μετά τινος τῶν ἄλλων σημείων ὡς οὐχ ἱκανῶν ὄντων μόνων τῶνδε τὸν θάνατον δηλῶσαι.

18b 55 Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα καὶ τὸ ξύμπαν σῶμα ὑγρὸν κείμενον · οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται · ἄρισται δέ εἰσι τῶν κατακλίσεων αἱ ὁμοιόταται τῇσι τῶν ὑγιαινόντω ν . Καὶ τοῦτο μαρτυρεῖ τῷ κατάλογον εἶναι τῶν ὀλεθρίων σημείων ἐν τῷ χωρίῳ τοῦ βιβλίου τῷδε παντί. φαίνεται γὰρ καὶ νῦν οὐκ ἀφ᾽ ἑτέρας ἀρχῆς περὶ τῶν ἐν ὅλῳ τῷ σώματι σημείων ὁ ἀνὴρ διδάσκων, ἀλλὰ συνάπτων αὐτὰ τοῖς προειρημένοις· προειρηκὼς γὰρ ἔμπροσθεν ἐπὶ τοῦ νεκρώδους προσώπου "καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι τά τε ἐν τῷ ξύμπαντι σώματι καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν" ἐφεξῆς πάντα διεξέρχεται συνάπτων ἀλλήλοις.

18b 56 αὐτὸ δὲ τὸ δεῖν εὑρίσκεσθαι τὸν ἄρρωστον ὑπὸ τῶν ἐπισκεπτομένων ἰατρῶν οὐχ ὕπτιον κείμενον ὥσπερ τινὰ παρειμένον, ἀλλὰ ἐπὶ θατέρου πλευροῦ, καθότι ἂν ὁ ἰατρὸς αὐτῷ προσίῃ, διὰ τοῦτό ἐστιν ἀγαθόν, ὅτι ῥώμην ἐνδείκνυται τῆς στηριζούσης διὰ τῶν μυῶν τὸ σῶμα δυνάμεως, ὥσπερ αὖ πάλιν ἀρρωστίαν, εἰ μὴ δύναιτο τὴν ἐπὶ τοῦ πλευροῦ κατάκλισιν φέρειν. αὐτὸς δὲ ὁ Ἱπποκράτης προσέθηκε τῷ λόγῳ τὸν κοινὸν ἐπιλογισμὸν εἰπὼν οὕτως γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται καὶ δηλονότι μάλιστα κατ᾽ ἐκεῖνον τὸν χρόνον, ὅταν ὁ ἰατρὸς αὐτοὺς ἐπισκοπῇ. προσυπακοῦσαι γὰρ ἄμεινόν γε τῷ λόγῳ τοῦτο δυνάμει λεγόμενον ὑπ᾽ αὐτοῦ κατὰ τὴν λέξιν, ἔνθα φησὶ κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰατρο ῦ. οὐ γὰρ ἁπλῶς εἶπεν ἐπὶ πλευρὸν χρῆναι κεκλίσθαι τὸν ἄνθρωπον, ἀλλ᾽ ὑπὸ τοῦ ἰατροῦ καταλαμβάνεσθαι κεκλιμένον οὕτως. προσέθηκε δὲ καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέ λεα ὀλίγον ἐπικεκαμμένα ἔχοντ α· καὶ γὰρ καὶ τοῦτο σύνηθές ἐστι τοῖς πλείστοις τῶν ὑγιαινόντων.

18b 57 καὶ μέντοι καὶ κατ᾽ αὐτὸ τοῦτο τὸ προσθεῖναι τοῖς πλείστοις ἀνέμνησέ σε διορισμοῦ τινος ἑτέρου κεφάλαιον ἔχοντος εἰς πολλὰς προγνώσεις χρήσιμον, οὗ μεμνῆσθαί σε δεῖ, κἂν παραλείπηταί ποτε. τί δ᾽ ἐστὶ τοῦτο, καὶ δὴ φράσω. ὅσα τισὶ τῶν ἀρρώστων ἰδίως ὑπάρχει παρὰ τοὺς ἄλλους ἐξαίρετα, ταῦτ᾽ οὐ χρὴ κατὰ τὸ πάρεργον ἐπισκοπεῖσθαι. ἐὰν μὲν γὰρ εὕρῃς κατακείμενον αὐτόν, ὡς οἱ πλεῖστοι τῶν ὑγιαινόντων, ἀγάπα τὴν κατάκλισιν, ἐὰν δὲ ἐναντίως, οὐ χρὴ καταγινώσκειν εὐθέως ὡς κακοῦ τοῦ σημείου, προσαναπυθέσθαι δέ, μὴ σύνηθές ἐστι τὸ σχῆμα τοῦτο τῷ κάμνοντι. τὸ δὲ ὑγρὸν κεῖσθαι τὸ σῶμα πρὸς ἀντίθεσιν αὐτῷ λέλεκται τοῦ τεταμένου τὰ τέσσαρα κῶλα, τουτέστι τὰ σκέλη καὶ αἱ χεῖρες ὀλίγον ἐπικεκάμφθωσαν καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύμπαν σῶμα τὸν αὐτὸν τρόπον κείσθω τῶν ὑπερβολικῶν σχημάτων ἔξω καθεστηκός. ὑπερβολικὰ δ’ ὀνομάζεται σχήματα τὰ μετὰ ἄκρας ἐκτάσεως ἢ κάμψεως ἤτοι τῶν κώλων ἢ τῆς ῥάχεως, ἧς μόριόν εἰσι καὶ οἱ κατὰ τὸν τράχηλον σπόνδυλοι. [15]

18b 58 τὰ μὲν οὖν ὑπερβολικὰ σχήματα τεινομένων ἰσχυρῶς γίνεται τῶν νεύρων, ὡς ἐν τῷ Περὶ μυῶν κινήσεως ἐπιδέδεικται λόγῳ. τὸ δ’ ἐν τῷ μέσῳ τῶν ὑπερβολικῶν ἄνευ τάσεώς ἐστι. διὸ καὶ προσηγόρευσεν ὑγρὸν αὐτό, τῶν ὑγρῶν σωμάτων οὐ πεφυκότων τείνεσθαι. Ὕπτιον δὲ κεῖσθαι καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα ἧσσον ἀγαθό ν . Ἡ τοιαύτη κατάκλισις οὐκ ἔστιν ὅλως ἀγαθή, διόπερ οὐδ’ ἧσσον ἀγαθό ν. ᾗ γὰρ μηδ’ ὅλως ὑπάρχει τὸ ἀγαθὴν εἶναι, πῶς ἂν αὕτη λέγοιτο προσηκόντως ἧσσον ἀγαθὴ εἶναι; δηλοῖ δὲ καὶ αὐτός, ὡς οὐδ’ ὅλως ἐστὶν ἀγαθή, λέγων ἐφεξῆς “εἰ δὲ καὶ προπετὴς γίνοιτο καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστι τοῦτο ἐκείνου.” ὥσπερ γὰρ καὶ τῆς προειρημένης κατακλίσεως δεινῆς οὔσης, οὕτως περὶ αὐ τῆς ἔφη “δεινότερόν ἐστιν. [10]

18b 59 ” ἐμοὶ δὲ δοκεῖ τὴν κατάκλισιν ταύτην ἐν τοῖς οὐδετέροις τίθεσθαι σημείοις, ἅπερ οὐδὲ πρὸς ὑγείαν ἀξιόλογον ἕξει δύναμιν οὐδὲ πρὸς θάνατον, ἀλλ’ ἤτοι μέσα τελέως ἐστὶν ἢ μικρά τις αὐτοῖς ἐστι ῥοπὴ πρὸς τὸ ἕτερον, ὥστε τοὺς ἀμελέστερον ὑπὲρ αὐτῶν ἑρμηνεύοντας ἀμφοτέροις αὐτὰ παραβάλλειν δύνασθαι, ὅπερ καὶ νῦν ἐποίησεν ὁ Ἱπποκράτη ς, ‘ἧττον μὲν ἀγαθὸν εἶναι‘ εἰπὼν ‘τῆς προειρημένης τὴν τοιαύτην κατάκλισιν, μοχθηροτέραν δ’ αὐτῆς τὴν ἐφεξῆς λεγομένην‘, ἀναμιμνῄσκων καὶ νῦν τοῦ διορίζεσθαι κατὰ πάντα τὰ τοιαῦτα, μή τι συνήθης ἐστὶν ὑπτία κατάκλισις τῷ κάμνοντι. εἰ γὰρ καὶ τοῦτ’ εἴη καὶ μὴ πάνυ τι φροντίζοι τοῦ εἰσιόντος ἰατροῦ, τότ’ ἂν οὐδ’ ἐν τῷ μέσῳ τῶν ἀγαθῶν τε καὶ κακῶν ὀρθῶς ὑπολαμβάνοιτο κατακλίσεων, ἀλλ’ ἐκ τῶν ἀγαθῶν μᾶλλον. εἰ δὲ μηδ’ ἐν τούτῳ τῷ σχήματι κατακλίνοιτο συνήθως αἰδῶ τε πολλὴν ἔχοι πρὸς τὸν ἰατρόν, οὐκ ἀγαθὸν τὸ σημεῖον, ἔτι δὲ μᾶλλον, εἰ καὶ φύσει τῶν αἰδημονεστέρων εἴη. διὰ ταῦτ’ οὖν ἅπαντα τὴν τοιαύτην κατάκλισιν ἐν μὲν τῷ μέσῳ θετέον ἀγαθῶν τε καὶ κακῶν, ὅσον ἐφ’ ἑαυτῇ, μεταπίπτειν δὲ εἰς ἑτέραν ἐφ’ ἑκατέρᾳ κατὰ τὴν φύσιν τοῦ κάμνοντος. [15]

18b 60 Εἰ δὲ καὶ προπετὴς γίνοιτο καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδα ς , δεινότερόν ἐστι τοῦτο ἐκείνο υ . Ὥσπερ ἡ ἐπὶ τὰς πλευρὰς κατάκλισις ἔχεταί τινος ἐνεργείας, οὕτως καὶ ἡ ἀνάρροπος ὑπτία, καθ’ ὃν τρόπον ἅπαντες ἐπικλινόμεθα. διὸ κἂν ἐπὶ τῆς ἑτέρας τῶν πλευρῶν κατακλίνῃς νεκρὸν σῶμα, περιτραπήσεται πάντως ἤτοι πρὸς τὸ πρηνὲς ἢ τὸ ὕπτιον σχῆμα, καθάπερ εἰ καὶ ἀνάρροπον αὐτὸ σχηματίσαις· ἐπὶ πόδας γὰρ οὕτω κατενεχθήσεται. εἰκότως οὖν ἔφη μοχθηρὸν εἶναι τὸ σημεῖον τοῦτο, νέκρωσίν τινα τῆς διοικούσης τὸ σῶμα δυνάμεως ἐνδεικνύμενον. Εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων μὴ θερμοὺς κάρτα ἐόντας καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ἀνωμάλως διερριμμέν α , κακόν · ἀλυσμὸν γὰρ σημαίνε ι . [12]

18b 61 Ὀρθότατα διωρίσατο τὸν λόγον εἰπὼν μὴ θερμοὺς κάρτα ἐόντα ς· ἐν γὰρ τοῖς θερμοτάτοις πυρετοῖς ἅμα τοῖς ἄλλοις μέρεσι καὶ τῶν ποδῶν διακαιομένων ἀναγκάζονται γυμνοῦν αὐτοὺς οἱ κάμνοντες. εἰ δὲ μὴ τοιοῦτος ὁ πυρετὸς εἴη, τὸ γυμνοῦν τοὺς πόδας ἢ μαλακίας ἐστὶ τοῦ νοσοῦντος ἢ ἄλυος σημεῖον. εἰ δὲ καὶ τὰς χεῖρας ἅμα τῷ τραχήλῳ καὶ τοῖς σκέλεσι φαίνοιτο μὴ κατὰ τρόπον ἐσχηματισμένας ἔχων, ὡς ἔμπροσθεν εἶπεν, ἀλλὰ διερριμμένα πως ἀνωμάλως εἴη τὰ τοιαῦτα μόρια, κακὸν τὸ σημεῖον· ἀλυσμὸν γὰρ ἔφη σημαίνεσθαι. τοῦτο δ’ αὐτὸ τοὔνομα δηλοῖ τὸ δυσφορεῖν ἅπαντι σχήματι καὶ μεταβάλλειν ἄλλοτε εἰς ἄλλο καί, εἴγε σοῦ παρόντος, ὡς εἴρηται, κατακείμενος ὁ κάμνων αὐτίκα μεταβάλλοι τὸ πρότερον σχῆμα πρὸς ἕτερον, ἅμα τῷ καὶ τὰ κῶλα διερριμμένως τε καὶ ἀνωμάλως ἔχειν ἢ καὶ τὴν τοῦ τραχήλου θέσιν, ἴσθι τοῦτον ἤτοι διὰ στομάχου κάκωσιν ἢ δι’ ἀρρωστίαν δυνάμεως ἀλύοντα, προσεπιλογιζόμενος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κἀνταῦθα τὴν προαίρεσιν αὐτοῦ, μή τις τῶν μαλακωτέρων εἴη καὶ πρὸς ἅπαν ἑτοίμως ἐνδιδόντων τε καὶ νικωμένων, εἰ καὶ μικρότατον ὑπάρχοι. [5]

18b 62 Θανατῶδες δὲ καὶ τὸ κεχηνότα καθεύδειν ἀεί— Ἀτονίας καὶ τοῦτο σημεῖόν ἐστι τῶν κλειόντων μυῶν τὸ στόμα, καθάπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τῶν τὰ βλέφαρα συναγόντων ἐρρέθη. ἡ γραφὴ μὲν οὕτως ἔχει, καθότι γέγραπται νῦν ὑπ’ ἐμοῦ, καὶ τά γε παλαιὰ τῶν ἀντιγράφων οὐκ ἄλλην ἔχει, τινὰ δὲ ὥσπερ καὶ τὰ τῶν περὶ Διοσκουρίδην οὐ ταύτην, ἀλλὰ τήνδε· χαλεπὸν δὲ καὶ τὸ κεχηνότα ἀεὶ καθεύδειν ἀε ί, σημείων ἔχουσαν σύνοδον δυοῖν, ἑνὸς μὲν τοῦ κεχηνέναι ἀεί, δευτέρου δὲ τοῦ καθεύδειν ἀεί. [10]

18b 63 τὸ μὲν οὖν δεύτερον ὅτι μοχθηρόν ἐστι, κἂν χωρὶς τοῦ κεχηνέναι γίνηται, δεδήλωται πρὸς αὐτοῦ καὶ κατὰ τὸν ἀφορισμὸν ἐκεῖνον ἔνθα φησὶν “ὕπνος ἀγρυπνίη ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα κακόν”, τὸ δὲ κεχηνέναι πιθανώτερον μέν ἐστιν εἰρῆσθαι μετὰ τοῦ καθεύδειν (οὕτως γὰρ ὡς τὰ πολλὰ φαίνεται γινόμενον), εἰ δὲ καὶ χωρὶς τοῦ καθεύδειν τινὶ συμβαίη, πολὺ μείζονα τὴν κάκωσιν ἐνδείξεται. Καὶ τὰ σκέλεα ὑπτίου κειμένου συγκεκαμμένα εἶναι ἰσχυρῶς καὶ διαπεπλεγμέν α . Γράφεται γὰρ ἑκατέρως καὶ διὰ τοῦ γ καὶ διὰ τοῦ χ , σημαίνει δὲ τὰ διεστῶτα μέχρι πλείστου καὶ εἴη ἂν ἄτοπος ἡ τοιαύτη κατάκλισις, ὡς παραφροσύνην ἐμφαίνειν, οὐδενός γε οὕτως εἰθισμένου κοιμᾶσθαι, ὥσπερ οὐδ’ εἰ περιπεπλεγμένα γράφοιτο. [11]

18b 64 καὶ γὰρ καὶ οὕτως ἀλλόκοτος ἡ κατάκλισις, ἐὰν ὕπτιός τις κείμενος ἔχῃ τὰ σκέλη συγκεκαμμένα τε καὶ ἀλλήλοις περιπεπλεγμένα. Ἐπὶ γαστέρα δὲ κεῖσθαι ᾧ μὴ σύνηθές ἐστι καὶ ὑγιαίνοντι κοιμᾶσθαι οὕτω ς , κακόν · παραφροσύνην γὰρ σημαίνει ἢ ὀδύνην τινὰ τῶν περὶ τὴν γαστέρα τόπω ν . Ἀναμιμνήσκει συνεχῶς ἡμᾶς τοῦ τοῖς ἅπασι συνεζευγμένου διορισμοῦ τοῦ κατὰ τὴν συνήθειαν τοῦ νοσοῦντος γινομένου· καὶ γὰρ καὶ νῦν τὸ ἐπὶ τὴν γαστέρα κατακεῖσθαι παρὰ τὸ ἔθος ἤτοι παραφροσύνην σημαίνει, καθάπερ ἐπὶ τῆς προειρημένης κατακλίσεως, ἢ ὀδύνην τινὰ τῶν ἐνταῦθά τινος μορίων· φαίνονται γὰρ οὐκ ὀλίγοι τῶν ὀδυνωμένων τὴν γαστέρα τοῦθ’ αἱρούμενοι τὸ σχῆμα. Ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα τῆς νούσου ἀκμαζούσης πονηρὸν μὲν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμας ι , κάκιστον δὲ ἐν τοῖσι περιπνευμονικοῖσι ν . [13]

18b 65 Αὐτοὶ λέγουσιν οἱ περιπνευμονικοὶ στενοχωρίας αἰσθάνεσθαι κατὰ τὸν θώρακα καὶ πνεύμονα πολλῆς ἐν ταῖς ὑπτίαις κατακλίσεσιν, εὐπνούστεροι δὲ ἀνακαθίζοντες γίνεσθαι· καταφέρεται γὰρ ὡς ἐπὶ τὴν ῥάχιν ἐπὶ ταῖς ὑπτίαις κατακλίσεσι τὰ κατὰ τὸ στέρνον μέρη τοῦ θώρακος, ὑφ’ ὧν συμβαίνει στενοχωρεῖσθαί τε τὸν πνεύμονα καὶ μὴ δέχεσθαι τὸν ἱκανὸν ἀέρα διὰ τῆς εἰσπνοῆς. ἐν δὲ τοῖς ἄλλοις νοσήμασιν, ὅταν ἀκμάζῃ (τούτῳ γὰρ μάλιστα χρή σε προσέχειν τὸν νοῦν ὡς οὐκ εἰκῇ προσειλημμένῳ), χαλεπώτατόν ἐστιν ἀνακαθίζειν ἐθέλειν τὸν κάμνοντα· βούλονται γὰρ τηνικαῦτα μάλιστα κεκμηκότες ἀκίνητοι κεῖσθαι κἂν ἐπεγείρῃ τις αὐτοὺς ἄχθονται. [10]

18b 66 τεκμαίρου τοίνυν ἤτοι γε ὑπὸ δυσπνοίας σφοδρᾶς ἢ ἄλυος ἢ παραφροσύνης ἀνακαθίζειν ἐπιχειρεῖν τὸν κάμνοντα κατὰ τὴν ἀκμὴν τῆς νόσου. Ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσι ν , ὁκόσοισι μὴ σύνηθές ἐστιν ἀπὸ παίδω ν , μανικὸν καὶ θανατῶδε ς . ἀλλὰ χρὴ προλέγειν ἐ π ’ ἀμφοτέρων τουτέων κίνδυνον ἐσόμενο ν . ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέ ῃ , ὀλέθριον κάρτα ἤδη γίνετα ι . Σπασμωδῶς κινουμένων τῶν κροταφιτῶν τε καὶ μασητήρων μυῶν αἱ πρίσεις τῶν ὀδόντων γίνονται, τισὶ μὲν αὐτῶν μόνων πεπονθότων τῶν μυῶν ἤτοι γ’ ἐξ ἀρχῆς ἀπὸ γενέσεως ἢ κατά τινα ἑτέραν αἰτίαν ὕστερον, ἐνίοις δὲ τῆς ἀρχῆς τῶν νεύρων εἰς διάθεσιν ἀχθείσης τοιαύτην, ὑφ’ ἧς μάλιστα δύνανται γενέσθαι τῶν ἀπ’ αὐτῆς πεφυκότων σπασμοί. ἐννοῆσαι γάρ σε χρὴ τὴν ἐξ ἀρχῆς ἑκάστου κατασκευὴν τῶν μορίων ἰδίαν ἑκάστῳ γινομένην,

ὑπὲρ ἧς εἴρηται μὲν ἐν ἄλλοις ἐπὶ πλέον, ἀρκέσει δὲ καὶ νῦν ἅπαξ ἐν τῷδε εἰ πεῖν κελεύσαντα μεμνῆσθαι τοῦ λοιποῦ πρὸς τὸ μὴ θαυμάζειν ὅπως τῆς κοινῆς ἁπάντων νεύρων ἀρχῆς παθούσης ἄλλοτε ἄλλος μῦς ἤτοι τρομώδης γίνεται ἢ σπασμώδης.

18b 67 ὥσπερ γὰρ ἐναργῶς ὁρῶμεν ἐνίοις μὲν σώμασιν ἀρίστην κατασκευὴν σκελῶν ὑπάρχουσαν, ἐνίοις δὲ χειρίστην εὐθὺς ἐξ ἀρχῆς, ὡς τοὺς μὲν ὠκύτατα θεῖν, τοὺς δὲ μόγις ἵστασθαι καὶ κατὰ τὰ ἄλλα μόρια ὡσαύτως, οὕτω δὴ καὶ τὸ βλάπτεσθαι ῥᾳδίως ἐπὶ σμικραῖς προφάσεσιν ἐνίους μὲν τὰ σκέλη, τινὰς δὲ ἄκρους πόδας ἢ ὀφθαλμοὺς ἢ κεφαλὴν ἤ τι τῶν ἄλλων εὐθὺς ἐξ ἀρχῆς ἕπεται ταῖς κατασκευαῖς τῶν σωμάτων. οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ τῶν μυῶν ἐνίοις μὲν ἀσθενεῖς οἱ τοὺς ὀφθαλμοὺς κινοῦντες, ἐνίοις δὲ οἱ τὰς γένυάς εἰσι, δι’ οὓς οὗτοι μὲν [ἢ] ἀεὶ πρίουσι τοὺς ὀδόντας [ἢ] ἐπὶ σμικραῖς προφάσεσιν, ἐκεῖνοι δὲ διὰ παντὸς κινοῦσι τοὺς ὀφθαλμούς. τὸ μὲν γὰρ φύσει πρίειν τοὺς ὀδόντας ὅμοιόν ἐστι τῷ κατὰ τοὺς ὀφθαλμοὺς πάθει συγγενομένῳ τισίν, ὃ προσαγορεύουσιν ἵππον, οὐ δυναμένων αὐτῶν ἑδραίων μεῖναι χρόνον οὐδένα, σαλευομένων δὲ ἀεὶ τρομωδῶς· τὸ δὲ ἐν ταῖς πυρετώδεσι νόσοις ἐπὶ τῷ τῆς ἀρχῆς πάθει γίνεσθαι τὸν σπασμὸν αὐτοῖς ὅμοιόν ἐστι πάλιν ἐκείνῃ τῇ κατασκευῇ τῶν κατὰ τὸν ὀφθαλμὸν μυῶν, ἐφ’ ὧν εἶπεν “ἢ ἐναιωρούμενοι φαίνονται”.

18b 68 κατά τινα μὲν γὰρ σώματα θᾶττον ὑπακούουσι τῶν τῆς ἀρχῆς παθημάτων οἱ κατὰ τοὺς ὀφθαλμοὺς μύες, κατά τινα δὲ οἱ κροταφῖται καὶ οἱ μασητῆρες. εἰκότως οὖν ἔφη τὸ σύμπτωμα τοῦτο καὶ μανικὸν εἶναι καὶ θανατῶδε c, μανικὸν μὲν ὡς εἰ καὶ παρακοπτικὸν εἶναι ἰσχυρῶς εἰρήκει, θανατῶδες δὲ διὰ τὴν τῆς ἀρχῆς βλάβην. ἀλλ’ ἐκεῖνό γε ζητήσεως ἄξιον, ὅπως εἰπὼν αὐτὸς εἶναι μανικὸν αὐτὸ μετὰ ταῦτά φησιν· ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέ η , ὀλέθριον κάρτα ἤδη γίνετα ι. πρόδηλον γὰρ ὡς, εἴπερ ἀγγέλλει παραφροσύνην τὸ πρίειν τοὺς ὀδόντας, οὐκέτι παύσαιτ’ ἄν, ἀλλὰ καὶ σφοδρότερον γένοιτο τῆς παραφροσύνης ἀφικομένης σὺν τῷ καὶ ἄλλους τινὰς μύας εἰς τὴν αὐτὴν ἀχθῆναι τηνικαῦτα διάθεσιν. ἔοικεν οὖν ἡ διάνοια τοῦ λόγου τοιαύτη τις εἶναι· τὸ πρίειν τοὺς ὀδόντας οἷς οὐκ ἦν ἔθος ἐξ ἀρχῆς παραφροσύνης ἐσομένης ἐστὶ σύμπτωμα· εἰ μέντοι ποτὲ ἐπ’ ἄρρωστον ἀφικόμενος εὕροις αὐτὸν ἀμφότερα πάσχοντα, παραφρονοῦντά τε καὶ πρίοντα τοὺς ὀδόντας, ἐγγὺς ἤδη τοῦτον ἥκειν ὀλέθρου τεκμαίρου, ὥστε κατὰ μὲν τὸν πρότερον λόγον, ὅτ’ οὔπω παραπαίων ἔπριεν ὁ κάμνων τοὺς ὀδόντας, ἁπλῶς αὐτὸ τοῦτο προδηλοῦσθαι μόνον, ὡς παρακοπτικόν τ’ ἐστὶ καὶ ὀλέθριον αὐτὸ τὸ σημεῖον, ἡνίκα δὲ ἤδη παραφρονεῖ σὺν τῷ πρίειν τοὺς ὀδόντας, ὑπόγυον ἐνδείκνυται θάνατον.

18b 69 ἐδήλωσε δὲ τοῦτο σαφῶς αὐτὸς ἐν τῷ προσθεῖναι τὸ ἤδ η. ὅτι μὲν γάρ ἐστι θανατῶδες τὸ σύμπτωμα, καὶ κατὰ τὸν ἔμπροσθεν εἰρήκει λόγον, ἐν δὲ τῷ δευτέρῳ τό τε κάρτα καὶ τὸ ἤδη προσέθηκεν εἰπὼν ὀλέθριον κάρτα ἤδη γίνεται, τουτέστι λίαν ὀλέθριον, ὅπερ ἔστιν οὐκ εἰς μακράν, ἀλλὰ διὰ ταχέων τεθνήξεσθαι τὸν κάμνοντα. Ἕλκος δὲ ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχω ν , ἤν τε καὶ ἐν τῇ νούσῳ γένητα ι , καταμανθάνειν χρή · ἢν γὰρ μέλλῃ ἀποθνήσκειν ὁ ἄνθρωπο c , πρὸ τοῦ θανάτου ἢ πελιδνόν τε καὶ ξηρὸν ἔσται ἢ ὠχρόν τε καὶ ξηρό ν .

18b 70 Ξηρὸν μὲν ἔσται πάντως τὸ ἕλκος ἀρρωστίᾳ τῆς τρεφούσης τὸ σῶμα δυνάμεως. χρόα δ’ οὐ μία διὰ παντὸς αὐτῷ γενήσεται, ἀλλὰ παρά τε τὸ διαφερόντως ἔχειν τὰ σώματα πρὸς ἄλληλα τοῖς χυμοῖς καὶ παρὰ τὸ ποσὸν τῆς βλάβης ὑπαλλαχθήσεται· τῶν μὲν γὰρ χολωδῶν ἐπικρατούντων ὠχρὸν ἔσται τὸ χρῶμα, τῶν δὲ μελαγχολικῶν ἤτοι πελιδνὸν ἢ κατὰ τὸ ἕτερον τῶν σημαινομένων χλωρόν. εἴπομεν δ’ ἔμπροσθεν ὡς τὸ χλωρὸν ἐνίοτε μὲν σημαίνει ταὐτὸν τῷ ὠχρῷ, ἐνίοτε δὲ τὸ οἷον ἰῶδες τῇ χροιᾷ, καθ’ ὃ σημαινόμενον εἰώθασι καὶ κράμβας χλωρὰς λέγειν οἱ ἄνθρωποι. οὕτω δὲ καὶ ἡ βλάβη πελιδνὸν μὲν ἡ μείζων ἐργάζεται (πλησίον γάρ ἐστι τοῦτο τοῦ μέλανος), ἐρυθρὸν δὲ ἢ χλωρὸν ἡ ἐλάττων.

18b 71

διὸ καὶ τὴν τελευτὴν τῆς ῥήσεως ἔνιοι μὲν οὕτως γράφουσιν· ἢ ὠχρόν τε καὶ ξηρόν, ἔνιοι δὲ ἐκείνως· ἢ χλωρόν τε καὶ ξηρό ν. Περὶ δὲ χειρῶν φορῆς τάδε γινώσκειν χρή · ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσι καὶ ἐν φρενίτισι καὶ ἐν περιπνευμονίῃσι καὶ ἐν κεφαλαλγίῃσιν ἀεὶ πρὸ τοῦ προσώπου φερομένας τὰς χεῖρας καὶ θηρευούσας διὰ κενῆς καὶ ἀποκαρφολογεούσας καὶ κροκύδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπῶσα c , πάσας εἶναι κακὰς καὶ θανατώδεα c . Αἱ τῶν χειρῶν φορα ί, τουτέστιν ἐνέργειαί τε καὶ κινήσεις, οἵας εἴρηκε νῦν, ἐπὶ φαντασίᾳ γίνονται παραπλησίᾳ τῇ τῶν ὑποχεομένων. ἐκεῖνοι γὰρ ὅσα κατὰ τὴν μεταξὺ χώραν ὁρῶσι τοῦ τε κρυσταλλοειδοῦς ὑγροῦ καὶ τοῦ περὶ τὴν κόρην κερατοειδοῦς χιτῶνος, ἐκτὸς ὑποκεῖσθαι δοξάζου σιν, ἐπειδὴ διὰ παντὸς εἰθίσθησαν ἐν τῷ κατὰ φύσιν ἔχειν ὁρᾶν τὰ πράγματα κατὰ τὸν ἔμπροσθεν ἑαυτῶν ἀέρα.

18b 72 τὸν αὐτὸν δὲ τρόπον οἱ νῦν οὗτοι, περὶ ὧν Ἱπποκράτης ἔγραψεν ἐν πυρετοῖσιν ὀξέσι καὶ περιπνευμονίῃσι καὶ φρενίτισι καὶ κεφαλαλγίῃσι ν, ὁρᾶν δοκοῦσιν ὡς ἐκτὸς ὑποκείμενα τὰ κατὰ τοὺς ὀφθαλμοὺς αὐτῶν ἔνδον ὄντα. δέδεικται γὰρ ὅτι τὸ πνεῦμα τὸ ὀπτικὸν αὐγοειδὲς ὂν ἑαυτῷ συνομοιοῖ τὸ μεταξὺ τοῦ τε κρυσταλλοειδοῦς καὶ τῆς κόρης ὑγρόν, λεπτὸν καὶ καθαρὸν ὑπάρχον, ὁμοιότατον τῷ περιεχομένῳ κατὰ τὰ ᾠά, ᾧ καὶ κατὰ τὰς ὀφθαλμίας χρώμεθα. δέδεικται δ' ὅτι καὶ διὰ τούτου τοῦ ὑγροῦ φέρεται τὸ πνεῦμα κατὰ τὸ τῆς κόρης τρῆμα πρὸς τὸν ἐκτὸς ἀέρα συμπαγὲς αὐτῷ γινόμενον, ἀλλὰ καὶ ὅτι τούτῳ τῷ ἀέρι συμφωτισθέντι χρῆται καθάπερ ὀργάνῳ συμφύτῳ τοιούτῳ τὴν δύναμιν ὄντι, ὁποῖον ἐν τῷ σώματι τὸ νεῦρόν ἐστιν. ἐπιδέδεικται δὲ καὶ τοῦτο κατὰ τοὺς ἰδίους τῆς ὄψεως λόγους, ὡς ἐν τῷ τρισκαιδεκάτῳ Περὶ ἀποδείξεως καὶ τῷ ἑβδόμῳ Περὶ τῶν Ἱπ ποκράτους καὶ Πλάτωνος δογμάτων ἔγραψα.

18b 73 λέλεκται δ' οὐκ ὀλίγα περὶ αὐτοῦ καὶ κατὰ τὸ δέκατον τῶν Περὶ χρείας μορίων. ὡς οὖν διὰ τοῦ νεύρου τῶν κατὰ τὸν δάκτυλον, εἰ τύχοι, τοῦ ποδὸς αἰσθάνεται παθημάτων ὁ ἐγκέφαλος, οὕτω καὶ διὰ τοῦ πέριξ ἀέρος τῶν ἐκτὸς ὑποκειμένων ὁρατῶν, ὅσα γε σύμμετρον ἀφέστηκεν αὐτοῦ. τὰ τοίνυν ὑποχύματα κατὰ τοῦτο γίνεται τὸ ὑγρὸν, ὃ παραπλήσιόν ἐστιν, ὡς ἔφην, ᾠοῦ τῷ λευκῷ τε καὶ λεπτῷ, ὃ μεταξὺ κεῖται τῆς τε κόρης καὶ τοῦ κρυσταλλοειδοῦς. κατὰ τοῦτο δὲ καὶ τῶν ἀπεπτούντων ἐνίοις φαντασίαι παραπλήσιαι τοῖς ὑποχεομένοις γίνονται. ὅπου γὰρ ἂν ἀντιστῇ τι μέλαν ὑγρὸν ἢ παχὺ κωλῦον ἔξω διεκπίπτειν τὴν ὀπτικὴν αὐγήν, ἐκεῖ φαντασίαι γίνονται κατὰ τὴν τοῦ συνεστῶτος ὑγροῦ φύσιν, ἐνίοτε μὲν οἷον τριχῶν τινων ἢ κρόκης ἢ στήμονος, ἐνίοτε δὲ κωνωπίων μελάνων ἢ μυιῶν παραπέτεσθαι δοκούντων, ἔστιν ὅτε δὲ καὶ φακοῖς ὁμοίων ἢ κέγχροις μέλασιν. οὕτως οὖν συμβαίνει καὶ κατὰ τοὺς ὀξεῖς πυρετοὺς καὶ κατὰ τὰς περιπνευμονίας ἀναθυμιωμένων ἐπὶ τὴν κεφαλὴν τῶν ἐν τῷ σώματι χυμῶν συναπολαύειν τῆς ἀναθυμιάσεως αὐτῶν τὸ κατὰ τὴν κόρην ὑγρὸν ἐκεῖνο τὸ καθαρόν.

18b 74 ὅπῃ δ' ἂν καὶ ὅπως θολωθῇ, τὰ προειρημένα γίνεται φαντάσματα. κατὰ δὲ τὰς ἰσχυρὰς κεφαλαλγία c, ὥσπερ οὖν καὶ κατὰ τὰς φρενίτιδα c, διὰ τὸ πεπληρῶσθαι τὴν κεφαλήν, ἀφικνούμενόν τι τῶν χυμῶν ἐπὶ τοὺς ὀφθαλμοὺς τῶν αὐτῶν συμπτωμάτων αἴτιον γίνεται καὶ τό γε κροκυδίζειν καὶ καρφολογεῖν εἰθισμένα τοῖς ἰατροῖς ἅπασι ῥήματα μάλιστα κατὰ τῶν φρενιτιζόντων λέγεσθαι τὴν θέσιν ἐντεῦθεν ἔλαβεν. ἔνιοι γοῦν ἡρμήνευσαν ἡμῖν τήν τε τῶν κροκύδων καὶ τὴν τῶν ἀχύρων φαντασίαν, ἐν αὐτῷ τε τῷ γίνεσθαι καὶ μετὰ ταῦθ' ὕστερον ἀπομνημονεύσαντες. ἔστι δὲ αὐτῶν ἡ διαφορὰ διττή· τινὲς μὲν γὰρ ἐν αὐταῖς ταῖς αἰσθητικαῖς φαντασίαις τὸ παραφρονεῖν ἐκτήσαντο τῆς κριτικῆς δυνάμεως ἐρρωμένης, ἔνιοι δὲ καὶ διὰ φρόνησιν ὑπερβάλλουσαν ὅμως, καίτοι πεπονθότες, ἐπὶ βραχὺ τὴν κριτικὴν δύναμιν ἀντέσχον καὶ ἀνήνεγκαν ὡς ἐκνικῆσαί τε καὶ ἀπομαχέσασθαι καὶ παρακολουθῆσαι τοῖς γινομένοις.

18b 75 αὐτοὶ τοίνυν ἐδήλωσαν ἡμῖν, ἐπὶ τίσι φαντασίαις ἐκίνουν τὰς χεῖρας, ὡς Ἱπποκράτης ἔγραψεν. ἐξέχειν γὰρ αὐτοῖς ἐδόκουν αἱ τῶν ἱματίων κροκύδες πολλαχόθι καὶ τοῖς τοίχοις ἄχυρα προσκεῖσθαι, πολλάκις δὲ καὶ κάρφη πολλὰ κατὰ τὴν στρωμνὴν ἐπικεῖσθαι καὶ παραπέτεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζῷα μικρὰ πλησίον τῶν ὀφθαλμῶν. ταῦτα μὲν οὖν θηρεύειν ἐπιχειροῦσι περιφέροντες τὰς χεῖρας, ὥς τι ληψόμενοι. τὰ δ᾽ ἄλλα ἐξέχειν φαινόμενα, τὰ μὲν ἀπὸ τῶν ἱματίων ἀφαιρεῖν ἐπιχειροῦσι, τὰ δὲ ἀποσπᾶν τοῦ τοίχου. χαλεπαὶ δ᾽ εἰσὶν εἰκότως αἱ ποιοῦσαι τὰ τοιαῦτα συμπτώματα διαθέσεις, ὡς ἂν τοῦ μὲν ὀξέος πυρετοῦ καὶ τῆς περιπνευμονίας καὶ τῆς κεφαλαλγίας διὰ μέγεθος 〈χυμῶν〉 ἐργαζομένων αὐτά, τῆς δὲ φρενίτιδος διὰ τὸ κύριον τοῦ πεπονθότος μορίου. ταύτης μὲν γὰρ ὅλον τὸ γένος ὀλέθριον, οἱ πυρετοὶ δὲ καὶ αἱ περιπνευμονίαι καὶ αἱ κεφαλαλγίαι κατὰ τὸ μέγεθος, ὡς εἴρηται. Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοις ι . [14]

18b 76 μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην δηλο ῖ . ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος ὀλέθριον κάρτα ἤδη γίνετα ι . Ταύτην τὴν ῥῆσιν ὅλην ἐν τῷ τρίτῳ τῶν Περὶ δυσπνοίας ἐξήγημαι τελεώτατα. διὸ καὶ νῦν ἐρῶ μόνα τὰ κεφάλαια. πνεῦμα μὲν ὀνομάζει κατὰ τόνδε τὸν λόγον ὁ Ἱπποκράτης ὅλην τὴν ‘ἀναπνοήν‘· φησὶ δὲ πυκνὴν αὐτὴν γινομένην ἐνίοτε μὲν ‘ἄλγημα σημαίνειν‘, ἐνίοτε δὲ τῶν κατὰ θώρακα μορίων φλόγωσιν, ἅπερ ἐστὶ καρδία τε καὶ πνεύμων ὑπὲρ τὸ διάφραγμα τὴν θέσιν ἔχοντα. φρένας γὰρ ἐκάλουν οἱ παλαιοὶ τοῦτο. ἐν μὲν οὖν τοῖς ἀλγήμασιν ἐδείχθη τούτῳ πυκνὸν καὶ μικρὸν γινόμενον τὸ πνεῦμα, κατὰ δὲ τὰς φλογώσεις πυκνὸν καὶ μέγα· ταύτας γὰρ ὀνομάζειν εἴωθε φλεγμονά ς. [10]

18b 77 τὸ δ᾽ ἀραιὸν πνεῦμα, τουτέστι τὸ διὰ πολλο ῦ, μετὰ μὲν μεγέθους παραφροσύνην σημαίνει, μετὰ δὲ σμικρότητος σβέσιν τῆς ἐμφύτου θερμασίας. ἀλλὰ ταύτην γε τὴν διάθεσιν ἐκ τοῦ συμβεβηκότος ἐδήλωσεν εἰπών· ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος ὀλέθριον κάρτα ἤδη γίνετα ι. ὅτι δὲ τούτων τῶν δυσπνοιῶν ἐμνημόνευσε μόνων ἐν τῷ Προγνωστικῷ τὴν διδασκαλίαν περὶ τῶν ὀξέων νοσημάτων ποιούμενος ὅτι τε κατὰ τὰ τῶν Ἐπιδημιῶν ὡς περὶ πλειόνων δυσπνοιῶν οὐσῶν ἐποιήσατο τὸν λόγον, ἐν τῷ τρίτῳ τῶν Περὶ δυσπνοίας ἐπιδέδεικται. Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασι ν , ὁκόσα σὺν πυρετοῖσίν ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνετα ι . Τὴν κατὰ φύσιν ἀναπνοὴν εὔπνοιαν εἴρηκεν ἐνδεικνυμένην μήτε θώρακα μήτε καρδίαν καὶ πνεύμονα μήτε τὰς φρένας ὀδυνηρόν τι πάθος ἔχειν, ἀλλὰ μηδὲ τῶν συνημμένων αὐτοῖς μορίων τινά· κινούμενα γὰρ κατὰ τὰς ἀναπνοὰς ὀδυνᾶται καὶ αὐτὰ φλεγμαίνοντά τε καὶ ὁπωσοῦν ἔχοντά τι πάθος ὀδυνηρόν· ἔστι δὲ ταῦτα κοιλία, σπλήν, ἧπαρ. [5]

18b 78 ὅταν οὖν μήτε τούτων τι πάσχῃ μήτε θερμασίας πλῆθος ᾖ τοσοῦτον, ὡς διακαίεσθαί τε καὶ φλέγεσθαι δοκεῖν, ἀλλὰ μηδὲ τοὐναντίον, ὥστ᾽ ἤδη σβέννυσθαι τὴν ἔμφυτον θερμότητα, πῶς οὐκ ἄν τις φαίη τὸν κάμνοντα πολλὰς ἐλπίδας ἔχειν σωτηρίας, ἐπί γε τῶν ὀξέων νοσημάτων, ἐφ᾽ ὧν ἤτοι διὰ τὸ μέγεθος τῶν πυρετῶν ἢ διὰ τὴν ἰδίως ὀνομαζομένην φλεγμονὴν οἱ κίνδυνοι γίνονται; τὰ μέντοι χρόνια καὶ χωρὶς τούτων τῷ καταλύειν τὴν δύναμιν οὐκ ἀκίνδυνα. διὰ τοῦτο οὖν ἐξεῖλεν αὐτὰ τοῦ λόγου καὶ περὶ μόνων ἀπεφήνατο τῶν ὀξέων, ὄντων δὲ καὶ τούτων διττῶν. ἐπειδὴ τὰ μὲν ἁπλῶς τε καὶ πρώτως ἐστὶν ὀξέα, τὰ δὲ ἐκ μετα πτώσεως τούτων γίνεται, περὶ ἀμφοτέρων ἐδήλωσεν εἰπών· ὁκόσα σὺν πυρετοῖσίν ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, τὸ μὲν σὺν πυρετοῖσι προσθείς, ἵνα χωρίσῃ ταῦτα σπασμοῦ καὶ τετάνου καὶ χολέρας ὅσα τ᾽ ἄλλα χωρὶς πυρετῶν ἐστιν ὀξέα, τὸ δὲ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, χάριν τοῦ συγκαταριθμεῖσθαι τοῖς ἁπλῶς τε καὶ κυρίως λεγομένοις ὀξέσι τὰ ἐκ μεταπτώσεως ὀξέα. [5]

18b 79 γίνεται δὲ ταῦτα κατ᾽ ἀρχὰς μὲν ὀξέως νοσησάντων, ὕστερον δὲ κατὰ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ἢ καὶ πρὸ αὐτῆς κριθέντων οὐ τελέως, ἀλλ᾽ ὥστε τι λείψανον τῆς νόσου μέχρι τῆς τεσσαρακοστῆς ἡμέρας ἐκταθῆναι. μετάπτωσις μὲν γὰρ ἐν ταῖς ἐλλιπέσι κρίσεσι γίνεται τῶν ὀξέων νοσημάτων οὐκ εἰς ταῦτα μόνον, ἀλλὰ καὶ τῶν χρονίων ἔνια, καὶ μάλιστα μαρασμὸν καὶ τεταρταῖον ἐμπυήματά τε καὶ φθόην καὶ ὕδρωπας. ἀλλ᾽ ὅ γε Ἱπποκράτης ἐξαιρεῖ τοῦ παρόντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λόγου κἀκεῖνα, μόνοις τοῖς ἁπλῶς ὀξέσιν, ὅσα σὺν πυρετοῖς γίνεται, καὶ τοῖς ἐκ μεταπτώσεως αὐτῶν εἰς τεσσαρακοστὴν ἡμέραν ἀφικνουμένοις ἄριστον εἶναι σημεῖον ἀποφηνάμενος τὴν εὔπνοιαν, οὔτε δὲ τοῖς ἄνευ πυρετῶν ὀξέσιν ἅπασιν οὔτε τοῖς χρονίοις, ὥστ' εἶναι τρία τὰ πάντα γένη τῶν νοσημάτων ἐν τῇ κατὰ χρόνον διαφορᾷ, ἓν μὲν τῶν ὀξέων ἐν τεσσαρεσκαίδεκα κρινόμενον ἡμέραις, ἀντικειμένων αὐτῷ τῶν χρονίων, ἐπαμφοτερίζον δὲ καὶ οἷον ἐν μεθορίῳ τεταγμένον ἀμφοῖν ἄλλο τρίτον, οὗ πέρας ἐστὶ τῶν κρισίμων ἡμερῶν ἡ τεσσαρακοστή.

18b 80 ταῦτα μὲν οὖν ἐγὼ λέγω τοῖς ἐναργῶς φαινομένοις ἐπὶ τῶν νοσούντων ὁμολογοῦντα, καὶ ὅστις αὐτὰ ἐπ' ἐκείνων βασανίσει, γνώσεται τὴν τῶν πραγμάτων φύσιν οὕτως ἔχουσαν. ὅσοι δὲ τὸ ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι κρίνεσθαι τὰ ὀξέα νοσήματα λέγουσιν εἰρῆσθαι τὸν ἀριθμὸν τῶν κρισίμων ἡμερῶν διδάσκοντος ἡμᾶς τοῦ παλαιο ῦ, πρὸς τῷ μὴ γινώσκειν, ἃ μάλιστα ἐχρῆν αὐτοὺς ἐπίστασθαι, καὶ τῶν λέξεων οὐκ ἀκούουσιν. εἰ γὰρ τὸ τεσσαρεσκαίδεκα ἡμέραις κρίνεσθαι τὰ ὀξέα νοσήματα δηλωτικόν ἐστι τοῦ πλήθους τῶν κρισίμων ἡμερῶν ὁπόσον ἐστί, καὶ τὸ ἐν τεσσαράκοντα ἡμέραις κρίνεσθαι τὸν ἀριθμὸν δηλώσει τῶν κρισίμων ἡμερῶν.

18b 81 ζητησάτωσαν οὖν ὥσπερ ἐν ταῖς τεσσαρεσκαίδεκα ποιοῦσι τὰς ἕως τῆς τεσσαρακοστῆς, οὕτως καὶ τὰς νῦν εἰρημένας τεσσαράκοντα ποιῆσαι. Οἱ δ ' ἱδρῶτες ἄριστοι μέν εἰσιν ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασι ν , ὁκόσοι ἂν ἐν ἡμέρῃσί τε κρισίμοισι γίνωνται καὶ τελέως τῶν πυρετῶν ἀπαλλάξωσι ν . ἀγαθοὶ δὲ καὶ ὅσοι διὰ παντὸς τοῦ σώματος γενόμενοι ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νόσημ α . οἳ δ ' ἂν μὴ τουτέων τι ἐξεργάσωντα ι , οὐ λυσιτελέε c . κάκιστοι δὲ οἱ ψυχροὶ καὶ μόνον περὶ τὴν κεφαλὴν γινόμενοι καὶ τὸ πρόσωπον καὶ τὸν αὐχένα · οὗτοι γὰρ σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον προσημαίνους ι , σὺν δὲ πρηυτέρῳ μῆκος νούσο υ . Ἐπὶ μὲν τῶν ἀρίστων ἱδρώτων δύο γράψας γνωρίσματα τὸ τρίτον παρέλιπεν ὡς ἐξ ἀνάγκης ἑπόμενον οἷς εἶπεν· ὅσοι γὰρ 〈ἂν〉 ἐν ἡμέραις τε κρισίμοις γένωνται καὶ τελέως ἀπαλλάξωσι τὸν κάμνοντα, οὗτοι καὶ ‘δι' ὅλου τοῦ σώματός‘ εἰσιν· ἐν δὲ τοῖς ἀγαθοῖς μέν, οὐ μὴν ἀρίστοις γε τὸ ‘δι' ὅλου τοῦ σώματος γενέσθαι‘ καὶ τὸ καθελεῖν τι τῆς νόσου γράψας οὐδὲν ἔτι προσέθηκε περὶ τῶν κρισίμων ἡμερῶν, ὡς ἐξ ἀνάγκης αὖ πάλιν καὶ τούτου συνεπομένου τοῖς ἀγαθοῖς ἱδρῶσι.

18b 82 τρίτη δ' ἄλλη τάξις ἱδρώτων ἐστὶ μετρίως κακῶν, ὑπὲρ ὧν εἶπεν οἳ δ ' ἂν μὴ τουτέων τι ἐξεργάσωντα ι , οὐ λυσιτελέε c, τουτέστι τό τε δι' ὅλου τοῦ σώματος γίνεσθαι καὶ τὸ μὴ τὸν κάμνοντα ποιῆσαι φέρειν εὐπετέστερον τὴν νόσον. αὐτῶν δὲ τούτων εὔδηλον ὅτι χείρους μέν εἰσιν οἱ μηδέτερον τούτων ἐργασάμενοι, μετριώτεροι δὲ οἱ τὸ ἕτερον. αὖθις δὲ πάλιν αὐτῶν τούτων οἱ μὲν εὐπετέστερον φέρειν τὴν νόσον ἐργασάμενοι μετριώτεροι, κἂν μὴ δι' ὅλου τοῦ σώματος γένωνται, χείρους δὲ οἱ βαρύτερον ἀποδείξαντες τὸ νόσημα, κἂν εἰς ὅλον ἐκταθῶσι τὸ σῶμα.

18b 83 τούτοις μὲν οὖν ἅπασιν ὑπάρχει τοῖς ἱδρῶσι θερμοῖς εἶναι καὶ διὰ τοῦτ' οὐδὲ κατὰ μίαν τῶν τριῶν τάξεων ἐδήλωσεν αὐτό, παραλείπειν εἰθισμένος ὅσα τε ἐξ ἀνάγκης ἕπεταί τισι καὶ ὅσα διὰ τῆς τῶν ἐφεξῆς λεγομένων ἀντιθέσεως δηλοῦται. πᾶσι δὲ τοῖς προειρημένοις κατὰ τοῦτον τὸν λόγον ἱδρῶσιν ἀντιτίθησι τοὺς ψυχροὺς εἰπὼν ὧδε· κάκιστοι δὲ οἱ ψυχροὶ καὶ σὺν αὐτοῖς κακοὺς εἶναί φησιν, ὅσοι περὶ τὴν κεφαλήν τε καὶ τὸν αὐχένα γίνονται, κἂν μὴ ψυχροὶ τυγχάνωσιν ὄντες· ἀπειλοῦσι γὰρ οὗτοι συγκοπήν. εἰ δ' ἅμα τε περὶ ταῦτα γίνονται τὰ μέρη καὶ ψυχροὶ φαίνονται, χείριστοι πάντων εἰσίν. οὐ γὰρ ἔτι μέλλειν, ἀλλ' ἄρχεσθαι δηλοῦσιν ἤδη τὴν συγκοπήν. ἐπιδιορίζονται δὲ τῇ σφοδρότητι τοῦ πυρετοῦ· εἰ μὲν γὰρ ὀξεῖς ὑπάρχουσι, θάνατον οἴσουσι πάντως οἵ τε ψυχροί, κἂν δι' ὅλου γίνωνται τοῦ σώματος, οἵ τε ‘περὶ τὸν τράχηλον καὶ κεφαλήν‘, εἰ καὶ θερμοὶ τύχοιεν ὄντες.

18b 84

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰ δὲ καὶ πρᾶος ὁ πυρετὸς εἴη, δυνήσεταί ποτε πέψαι καὶ τοὺς μοχθηροὺς χυμοὺς ἡ δύναμις ἐν τῷ χρόνῳ μὴ φθάσασα προαναλωθῆναι τῇ τῶν πυρετῶν ὀξύτητι. περὶ μέντοι τῶν κρισίμων ἡμερῶν οὐκέτι οὐδὲν εἶπεν ἐπὶ τῶν ἄλλων ἱδρώτων (καίτοι γε ἐπὶ τῶν ἀρίστων εἶπεν ἐν ἀρχῇ), διότι μέλλει δύναμίν τινα τῶν κρισίμων ἐν τῷ περὶ αὐτῶν λόγῳ διδάσκειν, ἐν αὐτῇ δὲ τῇ ῥήσει συνενεδείξατο. μία γάρ ἐστιν αὐτῶν ἡ δύναμις πιστὴν ἐργάσασθαι τὴν κρίσιν, ἐάν τε εἰς ἀγαθὸν ἐάν τε εἰς κακὸν τελευτήσῃ. γινώσκειν δὲ χρὴ τὴν τελευτὴν τῆς προκειμένης ῥήσεως ὑπὸ τῶν περὶ Διοσκουρίδην γεγραμμένην κατὰ τήνδε τὴν λέξιν κάκιστοι δὲ οἱ ψυχροὶ καὶ μόνον περὶ τὴν κεφαλὴν γινόμενοι καὶ τὸν αὐχένα · οὗτοι γὰρ θάνατον προσημαίνουσιν ἢ μῆκος νόσο υ. δῆλον δὲ ὅτι καὶ ἡ τοιαύτη γραφὴ συντομωτέρα μέν ἐστι τῆς προτέρας, δύναμιν δὲ τὴν αὐτὴν ἔχει καὶ δεήσει προσθεῖ ναι τὸν ἐξηγητήν, ὅπερ ἐπὶ τῆς προτέρας ἤδη γέγραπται σὺν μὲν ὀξεῖ πυρετῷ θάνατο ν , σὺν δὲ πρηυτέρῳ μῆκος νόσο υ. [10]

18b 85 ἐφεξῆς δὲ τούτων γέγραπταί τινα περὶ ἱδρώτων, οὐκ ἐν πᾶσι δὲ τοῖς ἀντιγράφοις, ἃ καλῶς ἄλλοι τέ τινες ἐξεῖλον ὡς οὐχ Ἱπποκράτους καὶ οἱ περὶ τὸν Ἀρτεμίδωρόν τε καὶ Διοσκουρίδη ν. Ὑποχόνδριον δὲ ἄριστον μὲν ἀνώδυνόν τε ἐὸν καὶ μαλθακὸν καὶ ὁμαλὸν καὶ ἐπὶ δεξιὰ καὶ ἐ π ' ἀριστερ ά . φλεγμαῖνον δὲ ἢ ὀδύνην παρέχον ἢ ἐντεταμένον ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερ ά , ταῦτα πάντα φυλάσσεσθαι χρ ή . Ἑνὶ μὲν λόγῳ βραχυτάτῳ περιλαβὼν ἄν τις εἴποι τὸ τῷ κατὰ φύσιν ὁμοιότατον ὑποχόνδριον ἄριστον εἶναι. κατὰ μέρος δὲ αὐτοῦ διδάσκων ὁ Ἱπποκράτης τὰ γνωρίσματα τὸ μὲν πρῶτον αὐτῶν ἐκ τῶν οὐχ ὑπαρχόντων εἶπεν, ἃ δὴ κα λεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἀποσυμβεβηκότα. [11]

18b 86 τὰ δὲ ἐφεξῆς δύο γνωρίσματα τῶν συμβεβηκότων ἐστὶ τοῖς ὑποχονδρίοις. ἀνώδυνον μὲν οὖν ὑποχόνδριον ἐκ τοῦ μὴ συμβεβηκότος αὐτῷ λέλεκται, μαλθακὸν δὲ καὶ ὁμαλὸν ἐξ ὑπαρχόντων τινῶν. ἀλλὰ τὸ μὲν μαλθακὸν ἐκ τοῦ συμμέτρου τῆς ἀντιβάσεως γνωρίζεται (τὸ γὰρ ἀντικείμενον αὐτῷ τὸ σφοδρῶς ἀντιβαῖνον σκληρόν ἐστι), τὸ δὲ ὁμαλὸν οὐ κατὰ μίαν μόνην τήνδε νοεῖται τὴν ποιότητα. δύναται γὰρ ὁμοίως μὲν εἶναι μαλθακὸν ἅπαν, ἤτοι δὲ κατά τι μὲν ἀνώδυνον ὑπάρχειν, κατά τι δ' ὀδυνώμενον, ἢ τὸ μὲν αὐτοῦ θερμότερον εἶναι, τὸ δὲ ψυχρότερον, ἢ τὸ μὲν ὑψηλότερον, τὸ δὲ ταπεινότερον. ὅθεν ἀντιτιθεὶς τῷ ἀρίστῳ καὶ ὁμαλῷ τὰ τοῦ χειρίστου καὶ ἀνωμάλου γνωρίσματά φησι “φλεγμαῖνον δὲ ἢ ὀδύνην παρέχον ἢ ἐντεταμένον ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερά”. τὸ μὲν φλεγμαῖνον εἶπε καθ' ὅλου τοῦ ὑποχονδρίου, σημαίνει δὲ δηλονότι τὸ ῥῆμα τοῦτο τὸ φλεγμαίνειν, ὡς εἰ καὶ διακαίεσθαι καὶ φλέγεσθαι καὶ πεπυ ρῶσθαι λέγοιτο. [15]

18b 87 κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ τὴν ὀδύνην παρέχον ἐφ' ὅλου λέλεκται τοῦ ὑποχονδρίου, καθάπερ γε καὶ τὸ τεταμένον (ἐφ' ὅλου γὰρ εἴρηται καὶ τοῦτο), τὸ δὲ ἀνωμάλως διακείμενον, ὅταν μὴ πᾶν ἔχῃ τὸ ὑποχόνδριον τὴν αὐτὴν διάθεσιν ἢ κατὰ θερμασίαν ἢ κατὰ ψύξιν ἢ κατ' ὀδύνην τε καὶ ἀνωδυνίαν ἢ κατ' ἰσχνότητα καὶ χαλαρότητα καὶ τάσιν. γίνεται γάρ ποτε τάσις ὑποχονδρίου χωρὶς τῆς ἰδίως ὀνομαζομένης φλεγμονῆς, ἤτοι διὰ ξηρότητά τινα σφοδρὰν οὐ μόνον τῶν κατ' αὐτὸ μορίων, ἀλλὰ καὶ τῶν κατὰ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα καὶ τὰς φρένας ἢ διὰ τὰς μετ' ὄγκου φλεγμονὰς αὐτῶν τῶν κατὰ τὸ ὑποχόνδριον μυῶν ἔξω τῆς ἰδίως ὀνομαζομένης φλεγμονῆς καθεστώτων, ἥτις ἐστὶν ὄγκος ὀδυνηρός. Εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρί ῳ , θόρυβον σημαίνει ἢ παραφροσύνη ν , ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν χρὴ τῶν τοιουτέων · ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωντα ι , μανῆναι τούτους ἐλπί ς . [12]

18b 88 Εὑρίσκεται μὲν ἔν τισι τῶν ἀντιγράφων οὐ σφυγμό ς, ἀλλὰ παλμός γεγραμμένος (ἐμάθομεν δὲ ὅτι τὸ σύμπτωμα τοῦτο διὰ πνεῦμα γίνεται φυσῶδες), ἀλλ' ἐν τοῖς πλείστοις γέγραπται σφυγμό ς, ἤτοι γε ὁ συνὼν ταῖς μεγάλαις φλεγμοναῖς ἢ καὶ τῆς κατὰ ῥάχιν ἀρτηρίας τῆς μεγάλης ἡ αἰσθητὴ τῷ κάμνοντι κίνησις, ὥς που κἀν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν εἶπεν ὁ ἀνήρ· “ὅταν ἡ φλὲψ ἡ κατ' ἀγκῶνα σφύζῃ, μανικὸς καὶ ὀξύθυμος.” εὔδηλος γάρ ἐστι κἀνταῦθα τὸ σφύζειν ἐπὶ

τῆς μεγάλης οὕτω καὶ σφοδρᾶς κινήσεως τῶν ἀρτηριῶν ἐπιφέρων, ὡς καὶ πρὸ τοῦ τὴν ἁφὴν ἐπιβάλλειν αὐταῖς αἰσθητὴν εἶναι τὴν κίνησιν ἐνίοτε μὲν αὐτῷ τῷ πάσχοντι μόνῳ, ἐνίοτε δὲ καὶ τοῖς ἔξωθεν ὁρῶσιν. ὅ τι δ’ ἂν ᾖ τούτων τῶν συμπτωμάτων, οὐκ ἀγαθόν ἐστι σημεῖον. καὶ γὰρ ἡ μεγάλη ἀρτηρία τῶν κυριωτάτων μορίων ὑπάρχει καὶ ἡ γαστὴρ καὶ τὸ ἧπαρ, ὥσπερ γε καὶ τὸ διά φραγμα.

18b 89 πάντως δὲ τούτων ἕν ἐστί τι τὸ πάσχον, εἴτε παλμός εἴη γεγραμμένος εἴτε σφυγμό c, ἀλλὰ τὸ μὲν διάφραγμα παραφροσύνην ἑτοιμότατα φέρει (διόπερ καὶ προσαγορεύεσθαί φασιν αὐτὸ φρένας ὑπὸ τῶν παλαιῶ ν), οὐχ ἥκιστα δὲ καὶ τὸ στόμα τῆς γαστρός, ὅταν μεγάλως φλεγμαίνῃ. τὰ δ’ ἄλλα μόρια τὰ τῇδε πάσχοντά τι τῶν εἰρημένων παθημάτων ἐν ἐπικινδύνῳ γίνεται διαθέσει. διὸ καὶ ὁ Ἱπποκράτης εἰκότως ἤτοι θόρυβον ἔφη σημαίνεσθαι πρὸς τοῦ συμπτώματος ἢ παραφροσύνη ν , θόρυβον μὲν ἑνὶ κοινῷ συμβεβηκότι πασῶν τῶν κινδυνωδῶν διαθέσεων, ἐφ’ αἷς οὐ τοῖς κάμνουσι μόνον, ἀλλὰ καὶ τοῖς ἰατροῖς θορυβεῖσθαι συμβαίνει, παραφροσύνην δὲ διά τε τὸ διάφραγμα καὶ τὸ τῆς γαστρὸς στόμα. περὶ μέντοι τῶν καθ’ ὑποχόνδριον μυῶν ἐπισκεπτέον ἐστίν· οὔτε γὰρ παραφροσύνην ἐξ ἀνάγκης οὔτε κίνδυνον ἐπιφέρουσιν οὗτοι σφύζοντες ἢ παλλόμενοι. μή τι οὖν ἰδιώτερον ἀκοῦσαι χρὴ τοῦ ἐνείη ῥήματος ἐν τῇ λέξει, καθ’ ἣν εἶπεν ὁ Ἱπποκράτης εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ τὸν ἐν τῷ βάθει τοῦ ὑποχονδρίου γινόμενον παλμὸν ἢ σφυγμὸν ἐκ τῆς ἐνείη φωνῆς ἐνδείξασθαι βουληθέντος αὐτοῦ.

18b 90 ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν χρὴ τῶν τοιουτέων · ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωντα ι , μανῆναι τούτους ἐλπί c. ἐπειδὴ θόρυβον ἢ παραφροσύνην ὑπὸ τοῦ συμπτώματος ἔφη δηλοῦσθαι, διορίζεται νῦν καὶ διδάσκει, πηνίκα μὲν παραφροσύνη, πηνίκα δὲ θόρυβος ἔσται μόνον. ὁ διορισμὸς δὲ ἀπὸ τῆς τῶν ὀφθαλμῶν κινήσεως, οὓς οὐ νῦν μόνον, ἀλλὰ κἀπὶ τοῖς ἄλλοις ἅπασι συμπτώμασιν, ἐφ’ ὧν ὑποπτεύεις ἔσεσθαι παραφροσύνην, ἀκριβῶς ἐπισκέπτου. τὸ γὰρ ἀστήρικτον αὐτῶν ἐκείνης ἐστὶ δηλωτικόν. ἐνταῦθα δὲ οὐχ ἁπλῶς ἔφη παραφρονῆσαι τὸν ἄνθρωπον, ἀλλὰ μανήσεσθαι σφοδράν τινα παραφροσύνην ἐπὶ τῶν προειρημένων σημείων γενήσεσθαι δηλῶν. ὅτι δ’ ἡ πυκνὴ κίνησις τῶν ὀφθαλμῶν τὴν ὑποψίαν τῆς παραφροσύνης βεβαιοῖ, δῆλον οἶμαί σοι κἀκ τῶν ἤδη λελεγμένων ἐπινοεῖν, ἡνίκα τοὺς περὶ τὸν ὀφθαλμὸν μύας ἐλέγομεν αἰσθάνεσθαι πρώτους τῶν κατὰ τὸν ἐγκέφαλον παθῶν. αὐτὸς δὲ ὁ ἐγκέφαλος ἐπὶ διαφράγματι καὶ στόματι κοιλίας πάσχει, καθότι κἀπὶ τοῖς ἄλλοις ὑμέσι τοῖς νευρώδεσιν.

18b 91 ἐξ ἐκείνου γὰρ ἁπάντων τῶν νεύρων πεφυκότων, ὅσα μόρια πλείστων αὐτῶν ἢ μεγίστων μετέχει, ταῦτ’ εἰκότως εἰς συμπάθειαν ἄγει τὴν ἑαυτῶν ἀρχήν. Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνο ν , κάκιστον μέ ν , εἰ πα ρ ’ ἅπαν εἴη τὸ ὑποχόνδριον · εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρε ι , ἀκινδυνότερον ἐν τῷ ἐ π ’ ἀριστερ ά . Οἴδημα μὲν εἴωθε καλεῖν τὸν παρὰ φύσιν ὄγκον ἅπαντα τῶν νεωτέρων ἰατρῶν ἕνα μόνον οὕτως ὀνομαζόντων ὄγκον, ὃς 〈ἂν〉 ἐν τῷ πιέζειν ἀνώδυνός τε καὶ μαλακὸς ᾖ. ἣν δὲ πάλιν ἰδίως ὀνομάζουσι φλεγμονὴν οἱ νεώτεροι, ταύτην Ἱπποκράτης συνθέτῳ λέξει σκληρὸν καὶ ἐπώδυνον οἴδημα καλεῖ. τὸ γὰρ τῆς φλεγμονῆς ὄνομα κατὰ τῆς φλο γώσεως ἔλεγεν.

18b 92 εὔδηλον δ’ ὅτι τοιαύτη διάθεσις ἐν ὑποχονδρίῳ γινομένη χείρων μέν ἐστιν ἡ ἐν τοῖς δεξιοῖς διὰ τὸ ἧπαρ, ἐπιεικεστέρα δὲ ἡ ἐν τοῖς ἀριστεροῖς διὰ τὸν σπλῆνα, χειρίστη δὲ ἡ ἐν ἀμφοτέροις ἅμα γινομένη. Σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα ἐν ἀρχῇ μὲν κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθα ι . Τὰ προειρημένα καθ’ ὑποχόνδριον οἰδήματα σκληρὰ καὶ ἐπώδυνα, τὰ πρὸς τῶν νεωτέρων ἰατρῶν ἰδίως ὀνομαζόμενα φλεγμονάς, κίνδυνόν φησι ‘σημαίνειν θανάτου ταχέως ἐσομένου‘· τοῦτο δέ, ἐὰν μὴ καὶ τῶν ἔνδον τι συμπεπόνθῃ, ψεῦδός ἐστι· τὰ δὲ ἔνδον, ὡς ἴσμεν, τό θ’ ἧπάρ ἐστι καὶ ἡ γαστὴρ καὶ ὁ σπλὴν καὶ τὸ περιτόναιον, ὡς οἵ γε μύες οἱ καθ’ ὑποχόνδριον

φλεγμήναντες οὐχ ἱκανοὶ θάνατον ἐπενεγκεῖν, εἰ μή τι ἄρα ποτὲ σπανίως ἤτοι διὰ μέγεθος ὑπερβάλλον φλεγμονῆς ἢ δι’ ἀρρωστίαν δυνάμεως ἢ καὶ τῶν ἰατρῶν κακῶς θεραπευόντων ἢ τοῦ κάμνοντος ἁμαρτάνοντος.

18b 93 συγκεχυμένως οὖν καὶ ἀδιορίστως ταύτην τὴν ῥῆσιν ἔγραψεν. Εἰ δὲ ὑπερβάλλοι εἴκοσι ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον εἰς διαπύησιν τρέπετα ι . Ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι διαφορουμένων τῶν ἐργαζομένων αὐτοὺς χυμῶν θεραπεύονται. πρόδηλον οὖν ὡς, ἐπειδάν γε μὴ καθιστῶνται, διαμένουσιν οἱ χυμοὶ καὶ πάντως ἐν τῷ χρόνῳ μεταβολή τις ἔσται αὐτῶν κατὰ ποιότητα, ποτὲ μὲν ἐπὶ τὸ σηπεδονῶδες, ὅταν ὡς ἐν νεκρῷ σώματι μηδὲν εἰς τὴν πέψιν αὐτῶν ἡ φύσις ὑπ’ ἀρρωστίας ἐνεργῇ, ποτὲ δ’ ἐκείνης ἰσχυούσης εἰς πῦον ἡ μεταβολὴ γίνεται. δεόντως οὖν εἶπεν ὁ Ἱπποκράτη c, ἐὰν μήτε καθίστηται τὰ φλεγμαίνοντα καὶ ‘ὁ πυρετὸς ἔχῃ‘ αὐτόν, εἰς διαπύησιν τρέπετα ι. παυσαμένου γὰρ τοῦ πυρε τοῦ σκοπεῖσθαι χρή, μή τις σκιρρώδης φλεγμονὴ γίνηται.

18b 94 πολλάκις γοῦν εἴωθεν οὕτως συμβαίνειν, ὅταν τῶν ἐργασαμένων αὐτὴν χυμῶν τὸ μὲν λεπτομερέστερον διαπνευσθῇ, τὸ δὲ παχὺ ἔτι καὶ γλίσχρον ἐν αὐταῖς ἐμπλασθῇ ταῖς κατὰ λεπτὸν εὐρυχωρίαις τῶν οὕτως παθόντων σωμάτων. διὰ τί δὲ τὴν εἰκοστὴν ἡμέραν ὅρον ἔθετο τῆς τῶν τοιούτων ἀποστημάτων ἐκπυήσεως, ἐν τῷ Περὶ κρισίμων ἡμερῶν ἐροῦμεν λόγῳ κατὰ τὸ δεύτερον ὑπόμνημα. Γίνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ καὶ αἵματος ῥῆξις ἐκ ῥινῶν καὶ κάρτα ὠφελέε ι , ἀλ λ ’ ἐπανερέσθαι χρ ή , εἰ τὴν κεφαλὴν ἀλγέουσιν ἢ ἀμβλυώσσουσιν · εἰ γὰρ εἴη τι τουτέω ν , ἐνταῦθα ἂν ῥέπο ι . Ὅτι τῶν καθ’ ὑποχόνδρια φλεγμονῶν ἀδιορίστως ἐμνημόνευσε, καὶ διὰ τῆσδε τῆς ῥήσεως φαίνεται διοριζόμενος αὐτός. αἱμορραγίας τε γὰρ ἐπ’ αὐτῶν γίνεσθαί φησιν ἐκ ῥινῶν ὠφελεῖσθαί τε πάνυ πρὸς αὐτῶν, ὅπερ ἐπὶ τῶν καθ’ ἧπάρ τε καὶ σπλῆνα φλεγμονῶν εἴωθε συμβαίνειν μάλιστα, περὶ ὧν ἀλλαχόθι καὶ τὸ “κατ’ ἴξιν” αἱμορραγεῖν ἐπαινεῖ καὶ τὸ “ἀνάπαλιν” δὲ μέμφεται διδάσκων αὐτός, τί ποτε λέγει τὸ ἀνάπαλιν, ‘οἷον τὸ ἐπὶ σπληνὶ μεγάλῳ αἷμα ἐκ δεξιοῦ μυκτῆρος ῥέειν‘.

18b 95 αἱμορραγίας δ’ ἐν τῇ πρώτῃ περιόδῳ γίνεσθαί φησι τῶν κρισίμων ἡμερῶν δηλονότι. καὶ γέγραπται διττῶς ἡ λέξις, ἑνικῶς τε καὶ πληθυντικῶς, ἑνικῶς μὲν ἐν τῇ πρώτῃ περιόδ ῳ, πληθυντικῶς δὲ ἐν τῇσι πρώτῃσι περιόδοισι ν. εἰ μὲν οὖν ἑνικῶς εἴη γεγραμμένον, ἑβδομαδικὴν ἐνδείκνυται περίοδον, εἰ δὲ πληθυντικῶς, ἐγχωρεῖ μὲν καὶ τὴν ἑβδομαδικήν (ἐνίοις γὰρ ἡ αἱμορραγία κατὰ τὴν δευτέραν ἑβδομάδα γίνεται), μᾶλλον δὲ ἀκουστέον ἐστὶ τὰς κατὰ τετράδα περιόδους ἐν τῇ τοιαύτῃ γραφῇ. οἱ πλεῖστοι μὲν γὰρ αἱμορραγοῦσιν ἐν ταῖς πρώταις ἡμέραις ἑπτά, κατὰ δὲ τὴν ἐνάτην καὶ τὴν ἑνδεκάτην ὀλίγοι, σπανιώτατοι δὲ οἱ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ. τῆς δ’ ἄνω ῥοπῆς τῶν χυμῶν, ἐφ’ ᾗ τὰς αἱμορραγίας γίνεσθαι συμβαίνει, προστίθησι σημεῖα τό τε κεφαλὴν ἀλγεῖν καὶ τὸ ἀμβλυώττει ν.

18b 96 ἀλλ’ ἐν τοῖς ἑξῆς τελεώτερον ὑπὲρ αὐτῆς διεξέρχεται, καθ’ ὃν τόπον καὶ ἡμεῖς ὅλον ἐξεργασόμεθα τὸν περὶ τῆς αἱμορραγίας λόγον. Μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθα ι . Τὸν ἀπὸ τῆς ἡλικίας διορισμὸν εἰς τὴν τῆς αἱμορραγίας πρόγνωσιν διδάσκει. μᾶλλον γὰρ ἐλπίζειν ἔσεσθαι χρὴ τὴν αἱμορραγίαν ἐπὶ ‘τῶν νεωτέρων πέντε καὶ τριάκοντα ἐτῶν‘· ἐν ταύτῃ γὰρ αἷμά τε πλεῖστόν ἐστι καὶ ἡ δύναμις ἰσχυροτάτη καὶ ἡ θερμασία δαψιλής. Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζεύμενα καὶ ὑπείκοντα χρονιωτέρας τὰς κρίσιας ποιέεται καὶ ἧσσον δεινότερα ἐκείνων ἐστ ί .

18b 97 Ταῦτά ἐστιν ἃ καλοῦσιν ἰδίως οἱ νεώτεροι τῶν ἰατρῶν οἰδήματα, περὶ ὧν ἐνίοτε μὲν ἀρκοῦνται λέγοντες οἱ παλαιοὶ τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων, ἐνίοτε δὲ καὶ τὰ ἀνώδυνα προστιθέασιν, ὁπότε γε μὴν αὐτὸ παραλίποιεν, ὡς συνεμφαινόμενον τοῖς μαλθακοῖς ὑπερβαίνουσιν· ἀνώδυνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γάρ ἐστι τὰ μαλθακά. νῦν δὲ ὁ Ἱπποκράτης οὐ τοῦτο προσέθηκε μόνον, ἀλλὰ καὶ τὰ ὑπείκοντα καὶ αὐτὸ περιέχεσθαι δοκοῦν ἐν τῷ μαλθακ ά, πλὴν εἰ τὰ βοθρούμενα κατὰ τὴν πίεσιν ἐνδείκνυται νῦν, ὅπερ οὐχ ἁπλῶς ἅπασι συμβέβηκε τοῖς εἴκουσι· γίνεται δὲ ταῦτα τοῦ δέρματος οἰδισκομένου. διότι δέ ἐστι φλεγματικὰ πάντα τὰ τοιαῦτα, διὰ τοῦτο καὶ χρονίζει καὶ ἧττον ἐπιφέρει κινδύνους. χρονίζει μὲν οὖν, ὅτι ψυχρότερα (θερμῷ γὰρ αἱ πέψεις γίνονται), ἧττον δέ ἐστι κινδυνώδη, διότι καὶ ἀνώδυνα· καταλύουσι γὰρ αἱ ὀδύναι τὴν δύναμιν. [10]

18b 98 Εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενο ν , ἔμπυον ἔσεσθαι σημαίνει καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτ ό . Ἔμπροσθεν μὲν ἐπὶ τῶν φλεγμονωδῶν οἰδημάτων ὡς ἂν θερμοτέρων ὄντων, εἰ μήθ’ ὁ πυρετὸς παύοιτο μετὰ τὴν εἰκοστὴν ἡμέραν, ἔφη τὰς ἐκπυήσεις ἔσεσθαι, νυνὶ δὲ ἐπὶ τῶν ψυχροτέρων τὴν ἑξηκοστὴν ὅρον τίθεται τῆς ἐκπυήσεως. εἴη δ’ ἂν καὶ ἕτερά τινα μεταξὺ τούτων, τὴν τεσσαρακοστὴν ἡμέραν ὅρον ἔχοντα. τόν γε μὴν σύμπαντα λόγον ὑπὲρ τῶν τοιούτων ἁπάντων εἰς τὸν περὶ τῶν κρισίμων ἡμερῶν τόπον ἀνεβαλλόμην. οὐ μόνον δὲ τὰ καθ’ ὑποχόνδριον οἰδήματα χρονίζοντα διαπυήσειν φησίν, ἀλλὰ καὶ τὰ κατὰ τὴν ἄλλην κοιλίαν, ὡς καὶ τῶν ὑποχονδρίων κατά τι σημαινόμενον ἐκ τῶν τῆς κοιλίας μερῶν ὄντων. [10]

18b 99 Ὅσα μὲν οὖν ἐπώδυνά τέ ἐστι καὶ σκληρὰ καὶ μεγάλ α , σημαίνει κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθα ι . ὅσα δὲ μαλθακά τε καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζεύμενα ὑπείκε ι , χρονιώτερ α . Πλεῖον οὐδὲν ἐν τῇδε τῇ ῥήσει διδάσκει τῶν προειρημένων, πλὴν ὅτι προσέθηκε τοῖς ἐπωδύνοις τε καὶ σκληροῖς οἰδήμασι τὸ μέγεθος, ὅπερ ἡμεῖς ἔμπροσθεν εἰρήκαμεν, ἡνίκα ἐλέγομεν οὐδὲν ἔχειν κινδυνῶδες τὰς τῶν ἐν ὑποχονδρίῳ φλεγμονὰς μυῶν, εἰ μή τι πάνυ σφόδρα μεγάλαι γενηθεῖεν. Τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται τῶν ἐν τοῖσιν ὑποχονδρίοις ι · ἧσσον δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ ἐς διαπύησιν τρέπετα ι . [11]

18b 100 Τῶν μὴ διαφορηθέντων οἰδημάτων αἱ ἐκπυήσεις οὐ μόνον θᾶττον, ἀλλὰ καὶ μᾶλλον γίνονται κατὰ τὸ ὑποχόνδριον, ὅτι θερμότερόν ἐστι τὸ χωρίον. ὅσα δ’ ἂν ἀποχωρῇ τοῦδε πρὸς τὰ κάτω, καὶ τοῦ θᾶττον καὶ τοῦ μᾶλλον ὑφαιρεῖ. καὶ διὰ τοῦτο τὰ κάτω τοῦ ὀμφαλοῦ σπανίως ἐκπυΐσκεται. Αἵματος δὲ ῥῆξιν καὶ μάλιστα τῶν ἀνωτάτω τόπων προσδέχεσθαι χρ ή . Ἐν οἷς μὲν ἀντιγράφοις ἡ ῥῆσις γέγραπται μετὰ τοῦ καί συνδέσμου, συνεπιδείκνυται τὴν ἐκ τῶν ῥινῶν αἱμορραγίαν οὐ μόνον ἐπὶ τοῖς ὑποχονδρίοις, ἀλλὰ καὶ τοῖς κατωτέρω γενέσθαι, ἐν οἷς δ’ ἄνευ τοῦ καί συνδέσμου, ἐνδείκνυται μὲν καὶ τούτοις, ἀλλ’ ἧττον· ἐν οἷς δὲ καὶ χωρὶς τοῦ μάλιστα κατὰ τοιάνδε λέξιν αἵματος δὲ ῥῆξιν τῶν ἀνωτάτω τόπων προσδέχεσθαι χρ ή, τὰ κάτωθεν ἐκείνων οὐ βούλεται φέρειν αἱμορραγίας. [5]

18b 101 ἔστι δὲ τὸ ἀληθὲς ἐπὶ μὲν τῶν κατὰ τὸν ὀμφαλὸν γίνεσθαι τὰς αἱμορραγίας, αὐτῶν δὲ τούτων ἐπὶ μὲν τοῖς ἄνω μᾶλλον, ἐπὶ δὲ τοῖς ἀνωτάτω μάλιστα. λεχθήσεται δὲ περὶ αἱμορραγίας αὐτῷ κἀπὶ τοῖς ἑξῆς, ἡνίκα καὶ ἡμεῖς ἀναλαβόντες ὅλον τὸν λόγον ἐροῦμεν τελεώτερον. Ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων τῶν περὶ ταῦτα τὰ χωρία ὑποσκέπτεσθαι τὰς ἐκπυήσια ϲ . Ἑνὶ κεφαλαίῳ περιλαβὼν εἴρηκεν, ἃ διὰ τῶν ἔμ προσθεν ἐδήλωσε κατὰ μέρος, ὥστε οὐδὲν δεῖ νεωτέρας ἐξηγήσεως τῇ ῥήσει. [12]

18b 102 Τὰ δὲ διαπυήματα ὧδε χρὴ ὑποσκέπτεσθαι τὰ ἐντεῦθε ν . ὁκόσα μὲν ἔξω τρέπετα ι , ἄριστά ἐστι ν , μικρά τε ἐόντα καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω καὶ ἐς ὀξὺ ἀποκορυφούμεν α , τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα ἥκιστά τε ἐς ὀξὺ συνεσταλμένα κάκιστ α . Ὅτι μὲν οὖν, ὅταν ἀθρόον τὸ πῦον συστῇ πεττομένου τινὸς ὄγκου τῶν παρὰ φύσιν, ἐμπυήματά τε καὶ διαπυήματα καλεῖ τὸ τοιοῦτον σύμπτωμα, πρόδηλόν σοι γενήσεται πάντα τοῦτον ἀναγνόντι τὸν λόγον αὐτοῦ, καθ’ ὃν περὶ τῶν ἐν ὑποχονδρίοις οἰδημάτων ἐποιήσατο τὴν διδασκαλίαν. ἀθροίζεται δὲ τὸ κατ’ αὐτὸ πῦον ἐνίοτε μὲν ὑπὸ τῷ δέρματι, πολλάκις δ’ ἐν τῷ βάθει κατὰ διττὴν αἰτίαν, ἢ τῷ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαπυῆσαν μόριον ἐντὸς τοῦ περιτοναίου τὴν θέσιν ἔχειν ἢ τῷ, κἂν μῦς ὁ πεπονθὼς ᾖ, τὸ πῦον ὑπό τι τῶν ἀμφιεσμάτων αὐτοῦ καταλαμβάνεσθαι, μὴ φθάσαν εἰς τὴν ἐκτὸς χώραν ἀφικέσθαι διὰ γλισχρότητα ἢ πάχος ἢ τὴν τοῦ περιέχοντος χιτῶνος πυκνότητα.

18b 103 σπεύδει μὲν γὰρ ἡ φύσις ἐκκρῖναι τὸ πῦον ἀπωσαμένη τῶν πεπονθότων σωμάτων καὶ τυγχάνει γε τούτου πολλάκις, ὅταν εὐτυχήσῃ πόρων ἐπιτηδείων εἰς ἔκκρισιν οἷον ὀχετῶν τινων. οὐ μὴν ἀεί γε τούτων ἐπιτυγχάνουσα συνωθεῖ τὸ πῦον εἰς τὰς παρακειμένας χώρας. καὶ ὅταν δὲ μικραὶ τυγχάνωσιν οὖσαι, ὑποδέρει τὸ περιέχον αὐτὰς σκέπασμα τὴν ὑπ’ αὐτὸ χώραν εὐρύνουσα. δῆλον οὖν ὅτι τῶν οὕτω διαπυησάντων ἐπιεικέστερά ἐστι τὰ τὴν ῥοπὴν ἔξω καὶ οὐκ ἔσω ποιησάμενα καὶ τούτων αὐτῶν, ὅσα μὴ πολὺν ἐπιλαμβάνει τόπον εἰς τὸ πλάτος ἐκτεινόμενα, συνεσταλμένα δὲ ὅλα πρός τινα κορυφὴν ἀνατείνεται κωνοειδῆ τῷ σχήματι γινόμενα. ταῦτα δὲ ἅμα μὲν ἐνδείκνυται ῥώμην τῆς ὠθούσης ἔξω τὸ πῦον δυνάμεως, ἅμα δ’ οὐ πολὺ διαφθείρει μέρος ὧν διαβιβρώσκει σωμάτων. εἴτε δ’ εἰς ὀξὺ ἀποκυρτούμενα εἴτε εἰς ὀξὺ ἀποκορυ φούμενα γεγραμμένον εἴη, δῆλον ὅτι μία κατ’ ἀμφοτέρας τὰς λέξεις ἐστὶ καὶ ἡ αὐτὴ διάνοια.

18b 104 Ὁκόσα δὲ εἴσω ῥήγνυτα ι , ἄριστά ἐστιν ἃ τῷ ἔξω χωρίῳ μηδὲν ἐπικοινωνέε ι , ἀλ λ ’ ἔστι συνεσταλμένα τε καὶ ἀνώδυνα καὶ ἅπαν τὸ ἔξω χωρίον ὁμόχρουν φαίνετα ι . Οὐχ ἁπλῶς ἐστιν ἄριστα τὰ τοιαῦτα τῶν ἐμπυημάτων, ἀλλὰ τῶν εἴσω ῥηγνυμένων ἄριστα, ἐπεί τοι χείρω ταῦτ’ ἐστὶ τῶν ἐκτὸς ῥηγνυμένων. αὕτη τε γὰρ ἡ ῥῆξις εἰς πολλῷ κυριώτερα μέρη γίνεται τοῦ καθ’ ὑποχόνδριον δέρματος, ἔτι τε φάρμακον οὐχ ὁμοίως ἐπιθεῖναι δυνάμεθα θεραπευτικόν, ὅταν εἴσω συρραγῶσιν, ἥ τε ἔκκρισις τοῦ πύου διὰ τῶν ἐντέρων γινομένη δάκνει καὶ ξύει. ταῦτα καὶ δυσεντερίαν ἐργάζεται καί ποτε, εἰ κατὰ τὴν νῆστιν ἢ τὰ λεπτὰ τῶν ἐντέρων γίνοιτο, τῇ τῆς τροφῆς ἀναδόσει λυμαίνεται, κατὰ δὲ τὴν γαστέρα καὶ τῇ πέψει.

18b 105 πρόδηλον οὖν ὡς χείριστα πάντων ἐστίν, ὅσα πρὸς ἀμφοτέρους ἐρράγη τοὺς τόπους, ἔσω τε καὶ ἔξω· διπλασιάζεται γὰρ οὕτω τὸ κακόν. ἕδραν τε γὰρ καὶ οἷον ἀρχὴν ἀναθρέψεως οὐδεμίαν ἡ φύσις ἔχει τοῦ περιποιήσασθαι τοῖς ἐρρωγόσιν οὐδὲ οἷον ἐπ’ ἐδάφει τινὶ βέβαια θεμέλια βαλέσθαι τῆς σαρκώσεως. Τὸ δὲ πῦον ἄριστον λευκόν τε εἶναι καὶ ὁμαλὸν καὶ λεῖον καὶ ὡς ἥκιστα δυσῶδε ς · τὸ δὲ ἐναντιώτατον τούτῳ κάκιστο ν . Ὅτι μὲν ὡς ἥκιστα δυσῶδες εἶναι προσήκει τὸ πῦον, ἄντικρυς δῆλον. ἡ γὰρ ὑπερβάλλουσα δυσωδία σήψεώς ἐστιν, οὐ πέψεως σημεῖον. ὅτι δὲ καὶ λευκόν, ἐὰν τὴν γένεσιν αὐτοῦ μάθῃς, ἐπιστήσει σε ὁ λόγος ἐπὶ τοῖς ἀποδεδειγμένοις ἑτέρωθι· πάντα γὰρ ἐν ἅπασιν ἀποδεικνύειν ἀδολεσχίας ἐστὶ μᾶλλον ἢ διδασκαλίας ἴδιον.

18b 106 ἔστι δὲ τὰ δι’ ἑτέρων πραγματειῶν ἀποδεδειγμένα ταυτί· κατὰ μὲν γὰρ τὴν Περὶ τῶν φυσικῶν δυνάμεων, ὅτι μία τίς ἐστιν ἐξ αὐτῶν καὶ ἡ ἀλλοιωτικὴ δύναμις, ἥτις καὶ τὴν ἐν γαστρὶ καὶ τὴν ἐν ἥπατι ἐργάζεται πέψιν μεταβαλλομένης τῆς τροφῆς ἐν ἥπατι μὲν εἰς αἷμα, κατὰ δὲ τὴν κοιλίαν εἰς ἐπιτήδειον αἵματι χυμόν, ὅτι τε τῶν τοῦ ζῴου μορίων ἕκαστον εἰς τὴν ἑαυτοῦ φύσιν ἄγει τὸν αὐτῷ πλησιάζοντα χυμόν. ἡ γὰρ ἐσχάτη πέψις ἐν τῷ προστίθεσθαί τε καὶ ἐξομοιοῦσθαι τὸ τρέφον τῷ τρεφομένῳ γίνεται. δῆλον οὖν ὅτι προπαρασκευάζεται χρόνῳ πλείονι πρὸς ταύτην τὴν ὁμοίωσιν. ἐλέχθη δὲ καὶ ἐν τοῖς Περὶ σπέρματος, ὡς ἐν τοῖς τῶν ἀγγείων χιτῶσιν, ὑφ’ ὧν οἱ ὄρχεις τρέφονται, πολλάκις φαίνεται ἐναργῶς προμεταβεβλημένον ἤδη τὸ αἷμα πρὸς τὴν τοῦ σπέρματος γένεσιν (οὐδὲ γὰρ αὐτοὺς τῶν ἀγγείων τοὺς χιτῶνας ὑπ’ ἄλλου τινὸς εἰκὸς τρέφεσθαι) καὶ καλοῦσιν ἔνιοι τῶν ἰατρῶν τὴν τοιαύτην ὑγρότητα θορώδη. διὸ καὶ τὸ σπέρμα αὐτὸ θορὸν ὀνομάζουσι καὶ μάλισθ’ ὅσοι τὴν δύναμιν αὐτοῦ σπέρμα καλοῦσιν, οὐ τὴν σωματικὴν οὐσίαν.

18b 107 ἀλλὰ μὴν καὶ ὅτι τὰς φλεγμονὰς ἐργάζεται τὸ κατασκῆψαν αἷμα τοῖς φλεγμήνασι μορίοις, ὡς ἐν ἀρχῇ μὲν αὐτὰ μόνα τὰ ἀγγεῖα πληρῶσαί τε καὶ διατεῖναι, μετὰ ταῦτα δὲ καὶ τὰς

παρακειμένας αὐτοῖς κενὰς χώρας πολλὰς καὶ μικρὰς οὔσας καθ’ ἕκαστον μόριον, ἐν τῷ Περὶ τῶν παρὰ φύσιν ὄγκων δέδεικται· λέλεκται δὲ κἀν τῷ Περὶ τῆς ἀνωμάλου δυσκρασίας. τοῦτ’ οὖν τὸ αἷμα τὸ κατὰ σμικρὰ μόρια παρεσπαρμένον τοῖς φλεγμαίνουσι μορίοις, ὡς ἂν ἔξω τῶν ἰδίων ἀγγείων γεγενημένον, ἐπανελθεῖν μὲν εἰς τὴν ἀρχαίαν φύσιν οὐκέτι δύναται, μεταβάλλεται δὲ καὶ σήπεται, καθότι καὶ πάνθ’ ὅσα θερμαίνεται σφοδρότερον ἐν ἀλλοτρίῳ χωρίῳ. ἐὰν μὲν οὖν ἐπὶ πλεῖστον ἐξεστηκὸς ᾖ τῆς οἰκείας εὐκρασίας τὸ ἔμφυτον θερμόν, ὡς ἐν ἀψύχῳ σώματι σήπεται τὸ αἷμα· διασῴζοντος δ’ αὐτοῦ τινα δύναμιν, ἐπίμικτός τις αὐτοῦ [ἡ] μεταβολὴ πρός τε τῆς παρὰ φύσιν αἰτίας καὶ τῆς κατὰ φύσιν ἀποτελεῖται, σηπούσης μὲν τῆς παρὰ φύσιν αἰτίας, πεττούσης δὲ τῆς κατὰ φύσιν. ὁποτέρα δ’ αὐ τῶν μᾶλλον κρατήσει, κατ’ ἐκείνην αὐτὴν ἐξ ἀνάγκης καὶ τὰ γνωρίσματα προσέρχεται τά τε τῆς χρόας καὶ τῆς ὀσμῆς καὶ τῆς συστάσεως.

18b 108 ἐκ δὲ τούτων, ὡς ἔφην, ἀποδεδειγμένων ἐν ἑτέραις πραγματείαις ἀκόλουθόν ἐστι συλλογίζεσθαι τὸ καλῶς μεταβεβλημένον εἰς πῦον αἷμα πρῶτον μὲν μὴ σεσῆφθαι, μᾶλλον δὲ πεπέφθαι, δεύτερον δὲ συνεμφαίνεσθαι μέν τι τῆς παρὰ φύσιν ἐν αὐτῷ σηπεδόνος, ὀλίγον δ’ εἶναι τοῦτο καί, καθάπερ ὁ Ἱπποκράτης εἶπεν, ὡς ἥκιστα δυσῶδε c· τὸ γὰρ ὡς ἥκιστα ταὐτὸν σημαίνει τῷ ὡς ἐλάχιστ α. πρὸς τούτοις δηλονότι καὶ τὴν χρόαν αὐτοῦ παραπλησίαν εἰκός ἐστι γενέσθαι τῷ σπέρματι, λευκὴν μέν, οὐ μὴν ἀκριβῶς γε τοιαύτην, ὁποία τῆς χιόνος ἐστίν. εἰς γὰρ τὴν τῶν στερεῶν σωμάτων ἄγεται χρόαν ὑπὸ τῆς φύσεως ἀκριβῶς μὲν τὸ σπέρμα, μετρίως δὲ τὸ πῦον, ἐπειδὴ τῷ μὲν σπέρματι τῆς παρὰ φύσιν αἰτίας οὐδὲν μέμικται. τῷ πύῳ δ’ οὐκ ἀεὶ μὲν ἴσον, ὡς ἐρρέθη, μέμικται δ’ οὖν τι πάντως, ἔξω τῶν οἰκείων ὀργάνων γεγενημένου τοῦ αἵματος. αὕτη μὲν οὖν ἡ αἰ τία τοῦ λευκὸν γίνεσθαι τὸ σπέρμα καὶ τὸ πῦον· ὁμοιοῦται γάρ πως τοῖς στερεοῖς σώμασι καὶ τὸ πῦον, ἅπερ ἐστὶν οἵ τε τῶν ἀγγείων χιτῶνες καὶ τὰ νεῦρα καὶ οἱ σύνδεσμοι καὶ οἱ ὑμένες οἵ τε χόνδροι καὶ τὰ ὀστᾶ.

18b 109 ἡ δ’ αὐτὴ καὶ τοῦ τὸ ὑφιστάμενον ἐν τοῖς οὔροις λευκὸν ὑπάρχειν αἰτία. καὶ γὰρ καὶ τοῦτο τῷ πύῳ τὴν γένεσιν ἀνάλογον ἔχει μεταξὺ τεταγμένον ἐκείνου τε καὶ τῶν κατὰ φύσιν χυμῶν. ὅσον γὰρ τῆς τροφῆς ἐν τῇ τοῦ αἵματος γενέσει τὴν ἀπὸ τῆς φύσεως ἐνέργειαν ἐξέφυγε, τοῖς οὔροις ὑφίσταται οὔθ’ ὡς τὸ αἷμα μεταβληθὲν ὑπ’ αὐτῆς οὔθ’ ὡς τὸ πῦον τῆς παρὰ φύσιν αἰτίας ἐν τῇ γενέσει μεταλαβόν. ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί · οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν ἐπώδυνοί τέ εἰσι κάρτα καὶ θανατώδεε c .

18b 110 (t1) ἄρχονται δὲ οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων τε καὶ τῆς ὀσφύο c , οἱ δὲ ἀπὸ τοῦ ἥπατο c . Κατὰ μὲν τὴν ἀρχὴν τοῦ συγγράμματος αὐτὸς ἔφη “σκέπτεσθαι δὲ ὧδε χρὴ ἐν τοῖσιν ὀξέσι νοσήμασι πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων.

18b 111 ” ὅθεν ἔνιοί φασιν οὐ περὶ τοῦ νεκρώδους προσώπου μόνον ὡς ἐν ὀξεῖ νοσήματι, ἀλλὰ καὶ περὶ τῶν ἑξῆς ἁπάντων γεγονέναι τὸν λόγον αὐτῷ, μηδὲ τὸ κατὰ τὴν τελευτὴν τοῦ συγγράμματος εἰρημένον ἀναγνόντες, ἔνθα φησίν· “ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων καὶ ὅσα ἐκ τούτων γίνεται.” καὶ μέντοι καὶ φαίνεται περί τε τῶν ἐμπυημάτων εἰρηκὼς ἔμπροσθεν οὐ μόνον ἐκείνων, ὅσα κατὰ τὴν εἰκοστὴν ἡμέραν ῥήγνυσθαι πέφυκεν, ἀλλὰ καὶ τῶν εἰς τὴν τριακοστήν τε καὶ τεσσαρακοστὴν καὶ ἑξηκοστὴν ἀφικνουμένων, ἔτι τε πρόσθεν ὑπὲρ τῶν ἄχρι τῆς τεσσαρακοστῆς ἡμέρας ἐκτεινομένων νοσημάτων, ἔνθα φησίν· “εὔπνοιαν δὲ χρὴ κάρτα νομίζειν μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖσί τέ ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.” καὶ νῦν ἄντικρυς εἶπεν οὐ περὶ πάντων ὑδρώπων ποιούμενος τὸν λόγον, ἀλλ’ ὅσοιπερ ἂν αὐτῶν ἐκ τῶν ὀξέων νοσημάτων γένωνται. καὶ περὶ τῶν ἐμπύων τε καὶ φθινωδῶν ἐν τοῖς ἑξῆς ἐρεῖ καὶ πρὸς τούτοις ἔτι καὶ περὶ τεταρταίων, ὁμολογουμένων καὶ τούτων χρονίων νοσημάτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18b 112 οἱ γοῦν ἐκ τῶν ὀξέων νοσημάτων ὕδρωπες ὅτι πάντες εἰσὶ κακοὶ μήτε τὸν πυρετὸν παύοντες ὀδυνηροί τε διαμένοντες, αὐτὸς εἶπεν. ἐδίδαξε δὲ καὶ τὰς γενέσεις αὐτῶν, ἥπατος μὲν ἄντικρυς ὀνομαστὶ μνημονεύσας, ἑνὶ δὲ κοινῷ λόγῳ τῶν ἐν τοῖς κενεῶσι μορίων, ἅπερ ἐστὶ νῆστις καὶ μεσεντέριον ἔντερά τε τὰ λεπτά. προσαγορεύειν γὰρ εἰκός ἐστιν αὐτὸν ἐκεῖνα τὰ μόρια κενεῶνας, ὅσα μεταξὺ τῆς τε τοῦ θώρακος ἐσχάτης πλευρᾶς ἐστι καὶ τοῦ τῆς λαγόνος ὀστοῦ. καὶ γάρ τοι καὶ κενὸν ἅπαν φαίνεται τοῦτο τὸ χωρίον, εἰ παραβάλλοις αὐτὸ τοῖς ἄνωθεν αὐτοῦ μέρεσι καὶ κάτωθεν ὀστώδεσιν ὑπάρχουσιν ἀμφοτέροις. ἔστι δὲ καὶ λαπαρὸν ἅπαν τοῦτο τὸ μόριον, ὅταν γε μὴ πρὸ ὀλίγου τις ἐμπεπλησμένος ᾖ σιτίων τε καὶ ποτῶν. καί μοι δοκεῖ καὶ ὁ ποιητὴς αὐτὰ ταῦτα τὰ μόρια τοῦ σώματος ὀνομάζειν λαπάρας. ὑδρώπων μὲν οὖν ἁπάντων ἡ κοινὴ γένεσις ἀποτυχίᾳ τοῦ τῆς αἱματώσεως ἔργου γίνεται.

18b 113 καθάπερ γὰρ ἐν γαστρὶ πέττεται τὰ σιτία, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐν ἥπατι καὶ φλεψὶν ἡ ἐν τῇ κοιλίᾳ προπεφθεῖσα τροφή. καὶ μέντοι καὶ ὡς ἐν τῇ κοιλίᾳ ποτὲ μὲν ἧττον ἀποτυγχάνεται τὸ τῆς πέψεως ἔργον, ἔστιν ὅτε δὲ μᾶλλον, οὕτω κἀν τῷ ἥπατι. πάσχει γὰρ τὸ ἧπαρ ἐνίοτε μὲν αὐτὸ καθ' αὑτὸ πρῶτον ὥσπερ καὶ ἡ γαστήρ, ἐνίοτε δὲ κατὰ συμπάθειαν ἑτέρων μορίων. εὔδηλον οὖν, ὅτι τὰ συμπαθοῦντα πάντα ἀλλήλοις ἢ τῷ γειτνιᾶν ἢ τῷ κοινωνίαν ἔχειν μεγάλην κατὰ τὰ ἀγγεῖα καὶ νεῦρα πάσχει. οὕτω τοίνυν καὶ τὸ ἧπαρ διά τε φλεβῶν μεγάλων συνῆφθαι φαίνεται καὶ σπληνὶ καὶ γαστρὶ καὶ ἐντέροις ἥ τε θέσις αὐτῶν οὕτω πλησίον ὡς ἔνια μὲν ἅπτεσθαι, τινὰ δ' ὀλίγου δεῖν ψαύειν αὐτοῦ. σπληνὸς μὲν οὖν οὐκ ἐμνημόνευσεν ὁ Ἱπποκράτη c, ἐπειδὴ περὶ τῶν ὀξέων νοσημάτων ὁ λόγος ἦν αὐτῷ. φαίνεται δὲ τοῦτο τὸ σπλάγχνον, ὅταν ἐν χρονίοις νοσήμασι σκιρρώδη λάβῃ διάθεσιν, εἰς συμπάθειάν τε τὸ ἧπαρ ἄγειν ὑδέρους τε δι' ἐκείνου μέσου τῷ παντὶ σώματι κατασκευάζειν.

18b 114 ἥπατος δὲ καὶ τῶν κενεώνων μέμνηται καὶ διδάσκει τὰς διαφορὰς τῶν ἐπ' αὐτοῖς γινομένων ὑδέρων, ὡς διὰ τῆς ἑξῆς ῥήσεως ἔσται δῆλον. Οἷσι μὲν οὖν ἐκ τῶν κενεώνων αἱ ἀρχαὶ γίνοντα ι , οἵ τε πόδες οἰδέουσι καὶ διάρροιαι πολυχρόνιοι ἴσχουσιν οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος οὔτε τὴν γαστέρα λαπάσσουσα ι . Τὸ μὲν οἰδεῖν τοὺς πόδας ἁπάντων κοινὸν ὑδέρων. ἀμέλει καὶ τοῖς ἐφ' ἥπατι συνεδρεύειν αὐτό φησι· γινώσκομεν δ' ὅτι καὶ τοῖς ἐπὶ σπληνὶ καὶ ἁπλῶς ἅπασι τοῖς ἄλλοις. τὸ δὲ τῆς διαρροίας ἴδιον ἐξαίρετόν ἐστι τοῖς ἐπὶ κενεῶσιν ὑδέροις, ὅσοι τῆς νήστεως ἢ τοῦ μεσεντερίου φλεγμαινόντων γίνονται. μάλιστα γὰρ δὴ τούτοις ἀκρατεῖς αἱ φλέβες εἰσί, δι' ὧν ἕλκει τὸ ἧπαρ εἰς ἑαυτὸ τὴν τροφήν, ὥστε οὔθ' ὑπηρετεῖν τῷ σπλάγχνῳ πρὸς τὴν ἀνάδοσιν οὔτε μένειν ἐν τῇ νήστει καὶ τοῖς λεπτοῖς ἐντέροις τὴν τροφήν.

18b 115 κἂν ἀρρωστοῦντα τύχῃ βαρυνόμενα πρὸς αὐτῆς, ὠθεῖ κάτω παραχρῆμα πᾶσαν αὐτὴν καὶ αὕτη τῆς διαρροίας ἡ αἰτία. καὶ δὴ καὶ διαφθείρεσθαι τὴν τροφὴν ἀθροίζεσθαί τε πολὺ τὸ χολῶδες εἰκός ἐστι διὰ τὴν τῶν φλεγμαινόντων μορίων θερμότητα. δῆξις οὖν οὐ σμικρὰ γίνεται διὰ ταῦτα τοῖς ἐντέροις ἐρεθίζουσα πρὸς τὴν ἀπόκρισιν τῶν περιεχομένων ἐν αὐτοῖς καὶ αὕτη πάλιν αἰτία δευτέρα τῆς διαρροίας γίνεται. εἰκότως δὲ αὐτάς φησιν οὔτε τὰς ὀδύνας παύειν οὔτε λαπάττειν, τουτέστι κενοῦν καὶ προσστέλλειν τὰ τῆς γαστρὸς οἰδήματα, δηλῶν κἀν τούτοις ὅτι τε μετ' ὀδύνης ἐκκρίνουσιν ὅτι τε τὸ ὑπογάστριον ἅπαν αὐτοῖς εἰς ὄγκον ἐξαίρεται. τὰς μὲν γὰρ ὀδύνας ἀναγκαῖόν ἐστι γίνεσθαι διά τε τὰς φλεγμονὰς καὶ τὰς δήξεις, τὴν γαστέρα δὲ ὅλην ἐξαίρεσθαι τῶν ἐντέρων πληρουμένων πνεύματος φυσώδους, οὗ τὴν μὲν γένεσιν εὔλογόν ἐστιν ἕπεσθαι ταῖς ἀπεψίαις.

18b 116 τὸ δὲ 〈οὐ〉 μένειν ἔνδον ἀρρωστίᾳ τῆς περισταλτικῆς τῶν ἐντέρων δυνάμεως γίνεται. Οἷσι δ ' ἀπὸ τοῦ ἥπατος οἱ ὕδρωπές εἰς ι , βῆξαί τε θυμὸς ἐγγίνεται αὐτέοισι καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου καὶ οἱ πόδες οἰδέουσι καὶ ἡ γαστὴρ οὐ διαχωρέει εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην καὶ περὶ τὴν κοιλίην οἰδήματα γίνετα ι , τὰ μὲν ἐπὶ δεξι ά , τὰ δὲ ἐ π ' ἀριστερὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱστάμενά τε καὶ καταπαυόμεν α . Θυμὸν εἴρηκε νῦν τὴν προθυμίαν, ἣν ἴσχουσι πρὸς τὸ βήττειν, ἐρεθιζόμενοι μὲν ὡς πρὸς τὸ σύμπτωμα, παραχρῆμα δὲ αὐτοῦ παυόμενοι καὶ μόνον ἀρχῆς τοῦ βήττειν πειρώμενοι. ὁ γὰρ τοῦ ἥπατος ὄγκος ἐγκείμενος ταῖς φρεσὶ στενοχωρίαν ἐργάζεται τῷ πνεύμονι. παραπλησίας οὖν διαθέσεως γινομένης τῇ κατὰ τὰς ὄντως αὐτοῦ στενοχωρίας, δι’ ἃς φλεγμαίνων τε καὶ καταρροϊζόμενος ἐκ τῆς κεφαλῆς πάσχει, προθυμοῦνται μὲν βήττειν ἐλπίζοντες ἐκ τοῦ κενῶσαι τὸ λυποῦν ἰάσασθαι τὴν στενοχωρίαν, ἀρξάμενοι δὲ αὐτοῦ παραχρῆμα παύονται διὰ τῆς πείρας αὐτῆς εἰς γνῶσιν ἀκριβεστέραν ἀφικνούμενοι τῆς διαθέσεως αἰσθανόμενοί τε σφῶν αὐτῶν ὅτι μάτην ἤλπισαν.

18b 117 ἀλλὰ καὶ ἡ φύσις αὐτὴ καθ’ αὑτὴν ἐπάγει βῆχα τὰς ἐμφράξεις τοῦ πνεύμονος ἐκκαθαίρουσα, κἂν ἡμεῖς μὴ προαιρώμεθα βήττειν, ὥστ’ ἔργον εἶναι πολλάκις ἀντισχεῖν τε καὶ κωλῦσαι τὸ σύμπτωμα. νῦν οὖν ὁπότε διὰ τὴν στενοχωρίαν ἐπὶ τὸ βήττειν οἱ κάμνοντες ἔρχονται μάτην ὡς ὀνησόμενοί τι τὴν ἐκ τῆς φυσικῆς δυνάμεως ὑπηρεσίαν οὐκ ἔχοντες αὐτίκα παύονται. διὰ ταῦτα μὲν γὰρ ἡ προθυμία γίνεται τοῖς οὕτω κάμνουσι τοῦ βήττειν, ἀπολείπει δ’ αὐτοὺς ἐν τάχει τοὔργον ὡς ἂν μηδ’ ἀναπτύοντας ἄξιον λόγου, ἀλλὰ τοσοῦτον ὅσον εἰς τὰς τραχείας ἀρτηρίας ὀρρῶδες καὶ λεπτὸν ἐκ τῶν περιεχόντων ἀγγείων τὸ ὀρρῶδες αἷμα συνθλίβεται δίκην ἱδρῶτός τινος. ταύτῃ γοῦν οἱ ἀπὸ τοῦ ἥπατος ὕδρωπες ἀφορίζονται τῶν προειρημένων, ἔτι τε τῇ βραχύτητι καὶ τῇ ξηρότητι τῶν ὑπερχομένων κάτω.

18b 118 διερεθίζονται γὰρ ἐκεῖνοι πεπονθότων αὐτοῖς ἤτοι τῶν ἐντέρων ἢ τοῦ μεσεντερίου. τοῖς δὲ ἀπὸ τοῦ ἥπατος ὑδεριῶσιν ὡς ἂν ἀπαθῶν ὄντων τούτων οὔτε διαφθειρομένης τῆς τροφῆς οὔτε βαρυνομένων ὑπ’ αὐτῆς τῶν μορίων (ἔρρωνται γὰρ καὶ οὐ γίνεται διάρροια) μένει πλεῖον αὐτόθι τὰ τῆς τροφῆς λείψανα τὸ μέν τι διαπέμποντα πρὸς τὴν ἐντὸς τοῦ περιτοναίου χώραν, τὸ δέ τι καὶ τῇ φλεγμονῇ τοῦ ἥπατος οἷον ἐξοπτώμενα. καὶ μέντοι καὶ τὸ δέρμα πᾶν αὐτοῖς ὡς ἂν ὑπὸ φλεγματώδους αἵματος τρεφόμενον οἰδαλέον τε γίνεται καί, εἰ πιέσαις αὐτὸ τῷ δακτύλῳ, παραχρῆμα μὲν φαίνεται κοῖλον, ὀλίγον δ’ ὕστερον εἰς τὴν ἔμπροσθεν ἐπανερχόμενον κατάστασιν. οὐ μὴν εὐθέως ἐξ ἀρχῆς ἅμα τῇ μεταπτώσει τῆς ὀξύτητος εἴωθε γίνεσθαι τὸ τοιοῦτον, ἀλλ’ οἱ μὲν πόδες οἰδίσκονται πρῶτοι πορρωτάτω τῶν θερμοτάτων μορίων ὄντες. ἐπαναβαῖνον δὲ τὸ σύμπτωμα καὶ περὶ τὴν κοιλίαν πᾶσαν τὴν αὐτὴν ἐργάζεται διάθεσιν, ὥστε, εἰ πιέσαις τὸ οἴδημα τῷ δακτύλῳ, κοιλαίνεσθαί τε καὶ οἷον βοθροῦ σθαι τὸν τόπον, εἶτ’ ὀλίγον ὕστερον εἰς τὴν ἔμπροσθεν ἐπανέρχεσθαι κατάστασιν, ὅπερ Ἱπποκράτης εἶπεν.

18b 119 καὶ περὶ τὴν κοιλίην οἰδήματα γίνεται ἱστάμενά τε καὶ καταπαυόμεν α. δύναιτο δ’ ἂν εἰρηκέναι τοῦτο καὶ περὶ τῆς πρώτης γενέσεως αὐτῶν ἔτι. καὶ γὰρ ἀρχόμενα συνίστασθαι καθίστανται πολλάκις, ὡς δόξαι τινὶ πεπαῦσθαι τελέως αὐτά, μετὰ ταῦτα δὲ αὖθις ἐπαίρεται· καὶ πάλιν δὲ καθίσταται καὶ αὖθις πάλιν ἐπαίρεται. προελθόντος δὲ τοῦ χρόνου μένει μὴ καθιστάμενα. διαφέρει γε μὴν ταῦτα τῶν προειρημένων ἐπὶ τοῖς κενεῶσι τῷ κοιλαίνεσθαι πιεζόμενα, φλεγματικὴν ἔχοντα τὴν φύσιν, οὐκ ἐπὶ φυσώδει πνεύματι καθάπερ ἐκεῖνα γινόμενα. Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα κακὸν τῆς τε κοιλίης καὶ τῶν πλευρῶν θερμῶν ἐόντω ν . Ἐν μὲν τοῖς χρονίοις νοσήμασι καὶ μάλιστα χειμῶνος καὶ γέρουσιν οὐ μόνον ἐν ταῖς εἰσβολαῖς τῶν πυρετῶν, ἃς ἐπισημασίας ὀνομάζουσιν, ἀλλὰ καὶ τοῖς διαλείμμασιν, οὐδὲν θαυμαστόν ἐστι περιψύχεσθαι τὰ πέρατα τοῦ σώματος ἄσαρκά θ’ ὑπάρχοντα φύσει καὶ πορρωτάτω κείμενα τῶν σπλάγχνων.

18b 120 ἀλλ’ ἐν τούτῳ τῷ βιβλίῳ περὶ τῶν χρονίων νοσημάτων οὐκ ἔστιν ὁ λόγος αὐτῷ. τὸ τοίνυν ἐν τοῖς ὀξέσι καταψύχεσθαι ταῦτα τὰ μόρια κατὰ τὴν ἐναντίαν διάθεσιν ὡς τὸ πολὺ γίνεται τῆς ἐν τοῖς χρονίοις ἐργαζομένης τὸ σύμπτωμα τοῦτο (κατ’ ἐκεῖνα μὲν γὰρ οὐκ ἐξικνεῖται μέχρι τῶν ἄκρων τοῦ ζῴου μορίων ἡ ἔμφυτος θερμότης ὑπ’ ἀρρωστίας), ἐν δὲ τοῖς ὀξέσι διὰ μέγεθος τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν σπλάγχνων φλεγμονῆς ὀλίγον μέν τι τῆς αἱματώδους οὐσίας εἰς ὅλον ἥκει τὸ σῶμα, πλεῖστον δὲ αὐτῆς ἐν τοῖς φλεγμαίνουσι κατακλείεται. καὶ διὰ τοῦτο κατακαίεται τὰ μέσα μόρια τοῦ σώματος, ἅπερ ἐστὶ θώραξ τε καὶ γαστήρ, καὶ ἱκανῶς φαίνεται θερμά. γίνεταί γε μὴν ἐνίοτε ἐν τοῖς ὀξέσιν ἐπισημασία μετὰ ῥίγους ἢ ψύξεως οὐ μόνα τὰ πέρατα τοῦ σώματος, ἀλλὰ καὶ τὸ περὶ θώρακα καὶ τὴν γαστέρα δέρμα ψυχρὸν ἐργαζομένη. [15]

18b 121 αὕτη μὲν οὖν οὐδὲν ἐνδείκνυται κατὰ τὰ σπλάγχνα φαῦλον, ὅταν δὲ μενόντων θερμῶν τῶν κατὰ τὰς πλευράς τε καὶ τὴν γαστέρα μορίων ἢ καὶ τοῦ κατὰ φύσιν ἔτι θερμοτέρων γεγενημένων ψύχηται τὰ τοῦ σώματος ἄκρα μόρια, μέγεθος φλεγμονῆς ἐνδείκνυται κατὰ τὰ σπλάγχνα καὶ τάχα βέλτιόν ἐστιν ἀκοῦσαι τὸ θερμῶν ἐόντων ἐπί τε τῆς κοιλίας καὶ τῶν πλευρῶν οὕτως εἰρημένον, ὡς ἐπιφανέστερον αὐτῶν τεθερμασμένων ἢ ὁπότε κατὰ φύσιν εἶχεν. ἴσμεν δ' ὅτι καὶ ὁ καλούμενος λειπυρίας πυρετὸς ἐκ τῆς τοιαύτης ἰδέας ἐστίν. Ἄριστον δὲ ἅπαν τὸ σῶμα θερμόν τε εἶναι καὶ μαλθακὸν ὁμαλῶ c . Χειρίστην προειρηκὼς κατάστασιν εἶναι νοσήματος, ὅταν τῶν μέσων τεθερμασμένων καταψύχηται τὰ πέρατα τοῦ σώματος, ἀντιπαραβάλλει νῦν αὐτῇ τὴν ἀρίστην ἐν ἡμῖν, ἐν ᾗ θερμὸν ὁμαλῶς ἐστιν ἅπαν τὸ σῶμα, μετὰ τοῦ καὶ μαλθακὸν ὁμαλῶς εἶναι. [12]

18b 122 τὸ γὰρ ὁμαλὸν ἀμφοτέρων ἐστὶ κοινόν. ὁμαλῶς μὲν οὖν θερμὸν γίνεται τὸ σῶμα καὶ κατὰ τοὺς διακαεστάτους τῶν πυρετῶν, ἀλλὰ δακνῶδές τε καὶ ξηρὸν φαίνεται κατὰ τὰς τοιαύτας διαθέσεις οὐ μαλακόν. εἰ δὲ ἅμα τε μαλακὸν εἴη καὶ θερμὸν ὁμαλῶς, ἀρίστην ἐνδείκνυται διάθεσιν τοῦ σώματος. Στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν νοσέοντα καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶνα ι . Κεφάλαιον μὲν ἁπάσης προγνώσεώς ἐστι τῶν τεθνηξομένων καὶ σωθησομένων ἡ παραβολὴ τῆς τοῦ νοσήματος ἰσχύος πρὸς τὴν τοῦ κάμνοντος δύναμιν· ἰσχυροτέρου μὲν γὰρ ὄντος τοῦ νοσήματος τεθνήξεται πάντως ὁ ἄνθρωπος, εἰ δὲ ἀσθενέστερον εἴη τῆς τοῦ κάμνοντος δυνάμεως, οὐκ ἂν ἀποθάνοι μηδενὸς ἁμαρτηθέντος. καὶ τοῦτο τὸ κεφά λαιον αὐτὸς ἔγραψε κατὰ τὸν ἀφορισμόν, οὗ ἡ ἀρχή· "ξυντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου. [10]

18b 123 " τὸ μὲν οὖν κεφάλαιον τοῦτο τῆς προγνωστικῆς θεωρίας ἐστίν. οὐσῶν δὲ δυνάμεων τριῶν κατὰ γένος ἐπὶ τρισὶν ἀρχαῖς, ἐγκεφάλῳ καὶ καρδίᾳ καὶ ἥπατι, διὰ τῶν ἐνεργειῶν ἑκάστης αὐτῶν ἥ τ' ἀρρωστία καὶ ἡ ῥώμη γνωρίζεται. ἐνέργειαι δὲ τῆς μὲν κατὰ τὸν ἐγκέφαλον ἀρχῆς αἱ μὲν ἡγεμονικαὶ κατά τε μνήμας γίνονται καὶ διαλογισμούς, αἱ δ' ὑπηρετικαὶ κατά τε τὰς αἰσθήσεις καὶ τὰς καθ' ὁρμὴν κινήσεις, τῆς δὲ κατὰ τὴν καρδίαν αἱ διὰ τῆς τῶν ἀρτηριῶν κινήσεως, τῆς δὲ κατὰ τὸ ἧπαρ αἱ περὶ τὸ αἷμα καὶ τοὺς χυμούς. εἰς ταῦτ' οὖν τὰ δύο κεφάλαια τῆς προγνωστικῆς θεωρίας τεμνομένης, ὅτιπερ ἂν ὑφ' Ἱπποκράτους ῥηθῇ σημεῖον, ἐπισκοπεῖσθαι χρή, τίνος ἐστὶ γένους, οἷον καὶ νῦν ἐπὶ τοῦ ῥᾳδίως στρέφεσθαι τὸν κάμνοντα καὶ διανιστάμενον ἐλαφρὸν ἑαυτῷ φαίνεσθαι. γνωρίσματα γάρ ἐστι ταῦτα τῆς καθ' ὁρμὴν κινούσης τὸ σῶ μα δυνάμεως. [10]

18b 124 ἴσμεν δ' ὅτι καθ' ὁρμὴν ἢ κατὰ προαίρεσιν ἢ βούλησιν ὀνομάζειν οὐδὲν εἰς τὰ παρόντα διαφέρει. τούτου δὲ τοῦ γένους ἦν καὶ τὰ περὶ τῆς κατακλίσεως ἔμπροσθεν εἰρημένα κατὰ τὴν ῥῆσιν, ἧς ἡ ἀρχή· "κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα." δείκνυσι μὲν γὰρ ὅτι ἡ τοιαύτη κατάκλισις ὥσπερ καὶ ἡ ἀνάρροπος ἐνεργούντων γίνεται τῶν μυῶν, ὀνομάζειν δὲ αὐτὴν εἰώθασι τονικήν. εἴρηται δὲ περὶ αὐτῆς ἐπὶ πλέον ἐν τοῖς Περὶ μυῶν κινήσεως. ἔλεγε δὲ καὶ ὁ Διοκλῆ c, ὅτι τὰ σώματα τῶν ζῴων συνέστηκεν ἐκ τοῦ φέροντος καὶ φερομένου. φέρον οὖν ἐστιν ἡ δύναμις, φερόμενον δὲ τὸ σῶμα. καθάπερ οὖν οἱ βαστάζοντες φορτίον ἤτοι βαρυνόμενοι πρὸς αὐτοῦ κινοῦνται μόλις ἢ κοῦφον εἶναι νομίζοντες ἀλύπως φέρουσιν, οὕτως καὶ ἡ δύναμις ἡ μὲν ἰσχυρὰ ῥᾳδίως τὸ βάρος τοῦ σώματος φέρει, ὡς μηδὲν εἰς τὰς κινήσεις τοῦ σώματος βλάπτεσθαι, ἡ δὲ ἀσθενὴς βαρυνομένη μόλις ἐξαίρει τὰ μόρια τοῦ σώματος. Ἦν δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρὺς ἐὼν φαίνηται τό τε ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδα c , ἐπικινδυνότερόν ἐστι ν . [15]

18b 125 Ἐπιχειροῦντι κινεῖσθαι τὰς κατὰ προαίρεσιν ἐνεργείας ἡ τῶν μορίων βαρύτης καταφανὴς γίνεται, σκελῶν μὲν ἐν τῷ διανίστασθαι καὶ βαδίζειν ἢ καὶ μεταφέρειν ὅλως αὐτὰ πειρᾶσθαι κατακείμενον, οὕτω καὶ χειρῶν ἐν τῷ λαμβάνειν τι καὶ μεθιέναι καὶ μεταφέρειν ἐπιχειρεῖν, ὡσαύτως καὶ τῶν κατὰ τράχηλον καὶ ῥάχιν ἐν τῷ μετασχηματίζειν ἐπιχειρεῖν τὸ σῶμα κατὰ ταῦτα τὰ μόρια. καὶ μέγιστόν γε τοῦτ᾽ ἐστὶ καὶ κυριώτατον ἀρρώστου δυνάμεως σημεῖον ἡ βαρύτης τῶν μορίων οὐχ ἁπάσης, ὡς εἴρηται πρόσθεν, ἀλλὰ τῆς κατὰ μόνα τὰ νεῦρα καὶ μῦς. Εἰ δὲ καὶ οἱ ὄνυχες πελιδνοὶ πρὸς τῷ βάρει καὶ οἱ δάκτυλοι γίνοντα ι , προσδόκιμος ὁ θάνατος αὐτίκ α . Δέδεικται μὲν δι᾽ ἑτέρων ἡμῖν, ὅπως ἀλλήλαις αἱ διοικοῦσαι τὸ ζῷον δυνάμεις συναπόλλυνται καὶ ὡς, ἄχρις ἂν ἡτισοῦν αὐτῶν διασῴζηται, ζῇ πάντως ὁ ἄνθρωπος. [10]

18b 126 εἰρηκὼς οὖν ὁ Ἱπποκράτης γνωρίσματα τῆς καταλυομένης δυνάμεως, ὑφ᾽ ἧς οἱ μύες κινοῦνται, νῦν αὐτοῖς προστίθησιν ἑτέρας δυνάμεως σβεννυμένης ἴδια γνωρίσματα. τὸ γὰρ πελιδνοῦσθαι σημεῖον τοῦ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν, ἥ τις ἀπὸ καρδίας ὁρμᾶται. διὰ τοῦτο τοιγαροῦν οὐχ ἁπλῶς θάνατον ἔφησε δηλοῦν τὴν πελιδνότητα προσγινομένην τῷ βάρει τοῦ σώματος, ἀλλὰ παραχρῆμα καὶ οὐκ εἰς ἀναβολὰς ἔσεσθαι τοῦτον, ἐπειδὴ τῶν δυνάμεων ἀμφοτέρων νεκρουμένων φαίνεται τὰ γνωρίσματα. Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι καὶ οἱ πόδες ἧσσον ὀλέθριοι τῶν πελιδνῶ ν , ἀλλὰ καὶ τὰ ἄλλα σημεῖα ἐπισκόπτεσθα ι . ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν ἢ καὶ ἄλλο τι τῶν περιεστικῶν σημείων ᾖ πρὸς τουτέοισι ν , ἐπιδείκνυται τὸ νόσημα εἰς ἀπόστασιν τρέπεσθα ι , ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθα ι , τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖ ν . [10]

18b 127 Οὐχ ἧσσον ὀλέθριοι τῶν πελιδνῶν ἐχρῆν εἰπεῖν, ἀλλ᾽ ὡς ἐνίοτε μὲν οὐδ᾽ ὅλως, ἐνίοτε δὲ ἐσχάτως εἰσὶν ὀλέθριοι. καὶ ἴσως ἄν τις ὑπενόησεν ἀγνοεῖν αὐτὸν τοῦτο διὰ τὸ μὴ κυρίως χρῆσθαι τῇ λέξει. προσθεὶς δὲ ἑξῆς τὸν διορισμὸν καὶ διδάξας σαφῶς ἑκάτερον, ὧν εἶπον, εὔδηλός ἐστι γινώσκων μὲν τὸ ἀληθές, οὐκ ἀκριβῶς δὲ ἑρμηνεύσας. ἐνίοτε γὰρ ἀποσκήμματος λόγῳ μελαίνεταί τι μόριον, ἐνίοτε δὲ νεκρώσεως. ὅπως δ᾽ ἄν τις αὐτὸ τοῦτο διαγνοίη, σαφῶς ἐδήλωσεν εἰπών· ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακόν, τουτέστιν εὐφόρως ὁ κάμνων ἔχῃ, ‘καί τι ἄλλο σημεῖον‘ αὐτῷ παρῇ τῶν σωτηρίων, ἀποσκήμματ᾽ ἐστίν· εἰ δὲ τὰ ἐναντία, νέκρωσις. Ὄρχεις δὲ καὶ αἰδοῖον ἀνασπώμενα πόνον σημαίνει ἢ θάνατο ν . [13]

18b 128 Φαίνεται τοῖς ὀδυνωμένοις ἀνασπώμενα ταῦτα τὰ μόρια καθάπερ τοῖς ἀποθνήσκουσι, καὶ λόγον ἔχει. νεκρουμένης γὰρ ἤδη τῆς ζωτικῆς δυνάμεως καὶ διὰ τοῦτο αὐτὸ ἀποτείνεσθαι μέχρι τῶν περάτων τοῦ σώματος ἀδυνατούσης, ὀκλαζούσης δὲ καὶ ἐπὶ τὴν ἑαυτῆς ἀρχὴν συναγομένης, ἀναγκαῖόν ἐστιν ἕπεσθαι καὶ τὰ μόρια τῇ δυνάμει καὶ συνέρχεσθαί τε καὶ συνάπτεσθαι πρὸς τὰ μέσα τοῦ σώματος. ὅτι δὲ καὶ οἱ πόνοι συστολὴν ἐργάζονται τῆς δυνάμεως εἰς ἑαυτήν, ἐμάθομεν ἤδη πολλάκις, ὥστε εἰκότως καὶ δι᾽ ἐκείνους ἀνασπᾶσθαι τὰ μόρια πρὸς τὴν ἀρχήν. Περὶ δὲ ὕπνων ὥσπερ καὶ κατὰ φύσιν σύνηθες ἡμῖν ἐστ ι , τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρ ή , τὴν δὲ νύκτα καθεύ δει ν . [11]

18b 129 εἰ δ ᾽ εἴη τοῦτο μεταβεβλημένο ν , κάκιον γίνετα ι . ἥκιστα δ ᾽ ἂν λυπέο ι , εἰ κοιμῷτο τὸ πρωῒ εἰς τὸ τρίτον μέρος τῆς ἡμέρη c . οἱ δ ᾽ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι πονηρότεροί εἰσι ν . Οὐ μόνον ὀρθῶς ἀπεφήνατο περὶ τῶν κατὰ τοὺς ὕπνους σημείων, ἀλλὰ καὶ τὴν αἰτίαν προσέθηκεν αὐτοῖς εἰς μὲν τὸ κατὰ φύσιν ἀναφέρων ὅσα χρηστά, τὰ δὲ ἐναντία, διότι παρὰ φύσιν ἐστί, διὰ τοῦτο μεμψάμενος. οὕτω δὲ καὶ κατὰ τὸ ἔθος ἔχει· τὸ μὲν γὰρ σύνηθες ἀγαθόν, τὸ δὲ ἀσύνηθες μοχθηρόν. ἀλλ᾽ ἐπὶ τῶν Ἱπποκράτους χρόνων οὐκ ἄλλο μὲν ἦν τὸ κατὰ φύσιν, ἄλλα δὲ τὰ ἔθη, νυνὶ δὲ ἔμπαλιν οἱ πλούσιοι δρῶσιν ἐν ἄλλοις τέ τισι καὶ κατὰ τοὺς ὕπνους,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς μὲν ἡμέρας κοιμώμενοι, νύκτωρ δὲ ἐγρηγορότες. ἐπὶ τούτων οὖν ὡς ἂν παρὰ φύσιν εἰθισμένων ζῆν οὐκ ἀληθής ἐστιν ἡ εἰρημένη πρὸς Ἱπποκράτους διδασκαλία. κυριώτερον γὰρ ἔν γε τοῖς νῦν χρόνοις ἐστὶ τὸ ἔθος τῆς φύσεως, οὐκ ἐπὶ τῶν πλουσίων γυναικῶν μόνον, ἀλλ' ἤδη καὶ ἀνδρῶν οὐκ ὀλίγων. [10]

18b 130 Κάκιστον δὲ μὴ κοιμᾶσθαι μήτε τῆς νυκτὸς μήτε τῆς ἡμέρη c . ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνου ἀγρυπνήσει ἢ παραφρονήσει ἀπὸ τουτέου τοῦ σημείο υ . Τὸ μήτε ἡμέρας μήτε νυκτὸς κοιμᾶσθαι τοῖς κατατεινομένοις ὑπό τινος ὀδύνης τε καὶ πόνου γίνεται καὶ τοῖς ἀρχομένοις παραφρονεῖν. ἀγρυπνίας γάρ ἐστι καὶ αὕτη ποιητικὴ διὰ ξηρότητα τῆς κατὰ τὸν ἐγκέφαλον κράσεως. Διαχώρημα δὲ ἄριστόν ἐστι μαλθακόν τε καὶ συνεστηκὸς καὶ τὴν ὥρη ν , ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρε ε , πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων · τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου ἡ κάτω κοιλίη ὑγιαίνοι ἄ ν . Ἀπὸ συστάσεως καὶ ποσότητος καὶ χρόνου, καθ' ὃν ἐκκρίνεται τὰ διαχωρούμενα, τὴν διάγνωσιν ἐποιήσατο τῶν ἀρίστων διαχωρημάτων, οὐ μὴν τῶν γε κακίστων ἀπὸ τούτων μόνον, ἀλλὰ προσέθηκε τούτοις τά τε ἀπὸ τῆς χροιᾶς γνωρίσματα καὶ τὰ ἀπὸ τῆς ὀσμῆς ἔτι τε πρὸς τούτοις τὸν κατὰ τὴν ἀπόκρισιν συνεζευγμένον ψόφον. [5]

18b 131 σύστασιν μὲν οὖν ἔχει τὴν κατὰ φύσιν, ὅσα μήτε σκληρὰ παντελῶς ἐστιν ὡς λιθώδη μήθ' ὑγρὰ τελέως ὡς δύνασθαι διαρρεῖν, ἀλλὰ μέχρι τοσούτου μαλακὰ μέχρι τοῦ μένειν ἔτι συνεστῶτα. ἔστω δ' αὐτῶν καὶ τὸ πλῆθος ἀνάλογον τῶν ἐδηδεσμένων καὶ ὁ χρόνος, ἐν ᾧ κενοῦνται, συνήθης τῷ κάμνοντι. προσκείσθω δὲ ὅτι καὶ ἡ χροιὰ καὶ ἡ ὀσμὴ φυλαττέσθω τῶν κατὰ φύσιν, ἅπερ αὐτὸς ὁ Ἱπποκράτης οὐ προσέγραψεν ὡς ἐξ ὧν εἶπε παρὰ φύσιν ἐπινοῆσαί σοι δυναμένῳ καὶ ταῦτα. σύνηθες γὰρ αὐτῷ τοῦτο πολλάκις ἐδείξαμεν ὂν ἐκ τῶν ἐναντίων ἐνδείκνυσθαι τἀναντία, παραλείποντι τὰς προσηγορίας αὐτῶν. ὑγιαίνειν δὲ τὴν κάτω κοιλίαν εἶπεν ὡς πρὸς τὸν θώρακα παραβάλλων, ἵν' ἀκού σωμεν αὐτήν τε τὴν γαστέρα καὶ τὴν νῆστιν ἅμα τῷ μετ' αὐτὴν ἐντέρῳ παντὶ κάτω κοιλίαν. [15]

18b 132 οὐ μὴν εὐθέως παρὰ φύσιν ἔχειν αὐτὴν ἐνδείξεται τἀναντία διαχωρήματα. τοῦτο γὰρ οὔτ' αὐτὸς εἶπεν οὔτ' ἄλλως ἀληθές. ἐγχωρεῖ γοῦν ὑγιαίνειν μὲν τὰ κατὰ τὴν κάτω κοιλίαν, ἤτοι δ' ἐξ ἥπατος ἢ σπληνὸς εἰς αὐτήν τι συρρέον ἀλλοιοῦν οὐ μόνον τὸ χρῶμα τὸ κατὰ φύσιν, ἀλλὰ καὶ τὴν σύστασιν καὶ τὴν ὀσμὴν τῶν διαχωρουμένων. ὑπαλλαχθήσεται δ' ἐνίοτε καὶ τὸ πλῆθος αὐτῶν ἐπιμιξίᾳ τῶν καταρρεόντων ὑγρῶν, οὐ φυλαχθήσεται δὲ οὐδ' ὁ συνήθης χρόνος τῆς ἀποκρίσεως. τὸ μὲν οὖν ὁμοιότατον τῷ κατὰ φύσιν διαχώρημα γνώρισμά ἐστιν οὐ μόνον τοῦ τὴν κάτω κοιλίαν ὑγιαίνειν, ὅπερ εἶπεν αὐτός, ἀλλὰ καὶ τοῦ μηδὲν ἐκ τῶν εἰρημένων σπλάγχνων καταρρεῖν εἰς αὐτήν, τὸ δὲ παρὰ φύσιν ἔχον ἔσθ' ὅτε μὲν αὐτὰ μόνα τὰ κατὰ τὴν κοιλίαν ἐνδείκνυται πεπονθέναι, πολλάκις δὲ καὶ τῶν ἄλλοθεν εἰς αὐτὴν συρρεόντων ἔχει γνωρίσματα καὶ πολυειδῆ γε ταῦτα τῷ τὸ ἧπαρ οὐ μόνον ἑαυτοῦ τινα περιττώματα καὶ ἰχῶρας καὶ χυμοὺς παρὰ φύσιν εἰς τὴν γαστέρα παραπέμπειν, ἀλλὰ καὶ τοῦ σώματος ὅλου. [15]

18b 133 συνάπτεται γὰρ ἡ γαστὴρ δι' αὐτοῦ πᾶσι τοῖς τοῦ ζῴου μορίοις καὶ δέχεται δι' ἐκείνου τὰ περιττώματα αὐτῶν ἐνίοτε μὲν ὡς ἀποσκήμματα τὸ σύμπαν ἐκκαθαίροντα ζῷον, ἐνίοτε δὲ μορίου ἑνὸς ἢ δυοῖν ἢ πλειόνων ἅμα, πολλάκις δὲ ὡς συμπτώματα δηλωτικὰ τῶν παθημάτων ἤτοι τοῦ σύμπαντος σώματος ἢ μορίου τινὸς ἤ τινων. προσέχωμεν τοίνυν τοῖς ἐφεξῆς λόγοις αὐτοῦ περὶ τούτων διδάσκουσιν. Εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημ α , συμφέρει μήτε τρύζειν μήτε πυκνόν τε καὶ κα τ ' ὀλίγον διαχωρέει ν . κοπιῶν γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς συνεχέος ἐξαναστάσιο c , ἀγρυπνοίη ἄ ν . ἢν δὲ ἀθρόον καὶ πολλάκις διαχωρέ ῃ , κίνδυνος λειποψυχῆσα ι . Ὅτι μὲν διὰ τὸ μὴ γεγενῆσθαι τὴν ἐκ τῆς κοιλίας ἀνάδοσιν ἢ διὰ τὸ κατερρυηκέναι τι τῶν ἐξ ἥπατος ἢ σπληνὸς περιττωμάτων εἰς αὐτὴν ὑγρὸν ἔσται τὸ διαχώρημα, πρόδηλον. [13]

18b 134

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ ἐγχωρεῖ τὸ τοιοῦτον ἀγαθὸν μὲν ὑπάρχειν, ἐὰν ἐκκαθαίρηται τὸ ἧπαρ ἢ ὁ σπλὴν ἢ καὶ τὸ σύμπαν σῶμα δι’ ἥπατος, οὐκ ἀγαθὸν δ’, ὅταν ἐν συμπτώματος λόγῳ γίνηται τῆς ἀναδόσεως ἀτυχηθείσης ἢ τῶν ἐξ ἥπατος ἰόντων εἰς τὴν γαστέρα διαθέσεως οὐκ ἀγαθῆς ἐχόντων γνωρίσματα. διορισμὸς δὲ τούτων ἐστίν, εἰ μή γε τρύζοι (γέγραπται δὲ καὶ μετὰ τοῦ σίγμα καὶ χωρὶς τοῦ σίγμα τοὔνομα καθ’ ἑκατέραν γραφὴν ἀπὸ τοῦ γινομένου ψόφου πεποιημένον) ἔτι τε εἰ μὴ πυκνῶς καὶ κα τ ’ ὀλίγον διαχωροί η. τὰ γὰρ οὕτω διαχωροῦντα συμπτώματος λόγον ἔχει, τὰ δὲ διὰ χρόνου πλείονος ἀθροώτερα πολλάκις ἀγαθῆς ἐκκρίσεως γνωρίσματά ἐστι, τῆς φύσεως ἀποτιθεμένης τὰ περιττὰ κατὰ πλῆθος ἢ ποιότητα ἢ τὸ σύμπαν ζῷον ἢ ἕν τι μόριον αὐτοῦ κενούσης ἢ καθαιρούσης. ὀνομάζω δὲ κέ νωσιν μὲν τὴν τῶν οἰκείων, ὅταν ὑπερβάλλῃ τῷ πλήθει, κάθαρσιν δὲ τὴν τῶν ἀλλοτρίων κατὰ ποιότητα. [10]

18b 135 συνακολουθεῖ δὲ καὶ ἄλλα τινὰ τοῖς τοιούτοις διαχωρήμασιν, ὧν ἐμνημόνευσεν ὁ Ἱπποκράτης εἰπὼν κοπιῶν γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς συνεχοῦς ἐξαναστάσιο ς , ἀγρυπνοίη ἄ ν. καὶ μὲν δὴ καὶ τὸ πολὺ πολλάκις ἐκκρίνειν ὡς καταλυτικὸν τῆς δυνάμεως μέμφεται. καὶ γὰρ σπανίως ποτὲ γίνονται ἐκκρίσεις ἀγαθαὶ τοιαῦται. τὸ γὰρ καταλύεσθαι τὴν δύναμιν οὐκ ἀγαθὸν αὐταῖς συνέζευκται, καθάπερ καὶ ταῖς ἐκκριτικαῖς μέν, ἀμέτροις δὲ αἱμορραγίαις. Ἀλλὰ χρὴ κατὰ τὸ τῶν εἰσιόντων πλῆθος ὑποχωρέειν δὶς ἢ τρὶς τῆς ἡμέρης καὶ τῆς νυκτὸς ἅπα ξ . πλεῖστον δ ’ ὑπίτω τὸ πρω ΐ , ὥσπερ σύνηθες ἦν τἀνθρώπ ῳ . Τοῦτο μὲν καὶ πρόσθεν ἐγεγράφει, βέλτιον δὲ ἦν αὐτὸν εἰρηκέναι νῦν τὸν περὶ τῶν ἐκκριτικῶν μέν, ἀθρόως δὲ ἐκκρινομένων λόγον, ὃν ἐγὼ διῆλθον ἄρτι. [13]

18b 136 μέμφομαι δ’ ὡς περιττὰ τὸ δὶς ἢ τρὶς τῆς ἡμέρης καὶ τῆς νυκτὸς ἅπαξ ὅσα τ’ ἄλλα πρὸς τούτοις ἔγραψεν. ἤρκει γὰρ μόνον εἰπεῖν, ὥσπερ σύνηθες ἦν τῷ ἀνθρώπ ῳ. τὸ δὲ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ὑπ’ αὐτοῦ γεγραμμένον ἔν τισι μὲν ἀντιγράφοις μετὰ τοῦ ὑπίτ ω, κατ’ ἔνια δὲ καὶ χωρὶς τούτου κατὰ τόνδε τὸν τρόπον· πλέον τὸ πρω ΐ , ὥσπερ σύνηθές ἐστι τῷ ἀνθρώπ ῳ, διαφέρει δ’ οὐδὲν ἢ οὕτως ἢ ἐκείνως γεγράφθαι. φυλάττεται γὰρ ἑκατέρως ἄριστον εἶναι τὸ συνηθέστατον. Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσο υ . Παχύνεται δηλονότι τὸ ὑδατῶδες καὶ λεπτόν, οὐ τὸ παχὺ καὶ σκληρόν, ὥστ’ ἂν εἴη ὁ λόγος αὐτῷ περὶ τῶν ἐξ ἀρχῆς ὑγρὰ διαχωρούντων. [12]

18b 137 ἴδιον δὲ τοῦτο βραχυλογίας παλαιᾶς καὶ μάλιστα σύνηθες Ἱπποκράτει τὸ διὰ τῶν ἀντικειμένων ἐνίοτε συνενδείκνυσθαί τινα παραλείποντι μνημονεύειν αὐτῶν ὀνομαστί. Ὑπόπυρρον δὲ ἔστω καὶ μὴ λίην δυσῶδε ς . Ἔπρεπε τοῦτον τὸν λόγον κατὰ τὴν ἀρχὴν εἰρῆσθαι τῆς περὶ τῶν διαχωρημάτων διδασκαλίας, ὡς γενέσθαι τὴν ῥῆσιν τοιαύτην· “διαχώρημα δὲ ἄριστόν ἐστι μαλθακόν τε καὶ συνεστηκὸς καὶ τὴν ὥρην, ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει, πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων· ὑπόπυρρον δὲ ἔστω καὶ μὴ λίην δυσῶδε ς”, ἵν’, ὡς ἔφην ὀλίγον ἔμπροσθεν, τήν τε σύστασιν αὐτοῦ καὶ τὸ πλῆθος καὶ τὸν καιρὸν τῆς ἀποκρίσεως ἔτι τε τὰς ποιότητας ἀμφοτέρας, τήν τε ὁρα τὴν καὶ τὴν ὀσφραντήν, ᾖ διωρισμένος. [10]

18b 138 ὅτι δὲ τὸ κατὰ φύσιν ὑπόπυρρόν ἐστι δεχόμενον τὴν ἐξ ἥπατος εἰς γαστέρα καταρρέουσαν χολήν, σύμμετρον μὲν τῇ ποιότητι, ὀλίγην δὲ τῇ ποσότητι, πρόδηλόν τέ ἐστι καὶ πᾶσιν ἰατροῖς ὁμολογούμενον. ἐὰν μὲν γὰρ ἄκρατος ἢ πολλὴ καταρρέῃ, ξανθὸν ἢ πυρρὸν ἔσται, μηδ’ ὅλως δὲ ἀφικνουμένης αὐτῆς εἰς τὸ ἔντερον ὡς ἐπὶ τῶν ἰκτεριώντων λευκὸν ἔσται τὸ διαχώρημα. Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας συνεξιέναι μετὰ τοῦ διαχωρήματος πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσο υ . Ὅταν καὶ ταύτας ἡ φύσις ἅμα τοῖς ἄλλοις περιττοῖς ὠθῇ κάτω, βέλτιόν ἐστιν ἤπερ ἄνω, καὶ ὅταν ἄλλως ἐπιφαίνηται λόγῳ συμπτώματος. εἴρηται δ’ ἐπὶ πλέον ἐν τοῖς Περὶ κρίσεων ὑπομνήμασιν ἡ διαφορὰ πᾶσα τῶν κρισίμως ἐπιφαινομένων. Δεῖ δὲ ἐν παντὶ νοσήματι λαπαρὴν εἶναι τὴν κοιλίην καὶ εὔογκο ν . [14]

18b 139

Τὸ μὲν λαπαρὴν ἀντίκειται τῷ τεταμένην ἢ πεπληρωμένην, τὸ δ’ εὔογκον τῷ ἐκτετηκυῖαν, ἵνα τὸ μὲν πρότερον ὑπὲρ τῶν ἐν αὐτῇ περιεχομένων διδάσκῃ, τὸ δὲ δεύτερον ὑπὲρ αὐτῆς τῆς κοιλίας, ὡς εἰ καὶ οὕτως εἶπε· “δεῖ δ’ ἐν παντὶ νοσήματι συμμέτρως μὲν κενὴν εἶναι τὴν κοιλίην, εὔογκον δὲ κατὰ τὴν ἑαυτῆς οὐσίαν καὶ μὴ λεπτήν.” Ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν ἢ χλωρὸν ἰσχυρῶς ἢ ἀφρῶδες διαχωρέει ν , πονηρὰ ταῦτα πάντ α . Τὸ μὲν οὖν ὑδαρὲς ἀπεψίας ἐστὶ σημεῖον, τὸ δὲ λευκόν, ὡς εἴρηται πρόσθεν ἤδη, τοῦ μὴ κατιέναι τὴν ὠχρὰν χολὴν ἐξ ἥπατος εἰς τὰ κατὰ τὴν γαστέρα χωρία, τὸ δὲ χλω ρὸν ἰσχυρῶ ς, ἐπειδὴ δύο σημαίνει τὸ χλωρόν, ὡς καὶ τοῦτ’ εἴρηται πρόσθεν, κατὰ μὲν τὸ ἕτερον τῶν σημαινομένων τὴν ὠχρὰν χολὴν παμπόλλην μεμῖχθαι δηλώσει, κατὰ δὲ τὸ ἕτερον τὴν ἰώδη.

18b 140 τὸ δὲ ἀφρῶδές ποτε μὲν πνεῦμα φυσῶδες ὑγρῷ δυσλύτῳ μεμῖχθαι, ποτὲ δὲ θερμασίας ἐστὶ πολλῆς σημεῖον. ὁρᾶται γοῦν κἀπὶ τῶν ἐκτὸς οὕτω γινόμενον ἐν μὲν τῇ θαλάττῃ διὰ τὰς τῶν ἀνέμων ἐμβολάς, ἐπὶ δὲ τῶν ἑψομένων λεβήτων διὰ τὴν πολλὴν θερμασίαν. Πονηρὸν δὲ καὶ σμικρὸν ἐὸν καὶ γλίσχρον καὶ λευκὸν καὶ ὑπόχλωρον καὶ λεῖο ν . Διττὴν ἰδέαν ἐν τῷδε τῷ λόγῳ διδάσκει διαχωρημάτων, ἀμφοτέρων μὲν ὑπὸ συντήξεως γινομένων, διαφερόντων δὲ καθ’ ὅσον ἡ μὲν μικρὰ καὶ γλίσχρος καὶ λευκὴ διαχώρησις πιμελῆς τετηκυίας ὑπὸ πυρρώδους μὲν θερμό τητος, οὐ μὴν κακοήθους γε σφοδρῶς γίνεται, ἡ δὲ ὑπόχλωρος καὶ λεία πιμελῆς μέν ἐστι καὶ ἥδε συντετηκυίας, ἀλλ’ ἤτοι διὰ θερμασίαν σφοδροτέραν ἢ αὐτῆς τῆς πιμελῆς παλαιᾶς τε καὶ οἷον ἡμισαποῦς ὑπαρχούσης.

18b 141 ὁρᾶται γὰρ κἀκτὸς οὐχ ἡ πιμελὴ μόνον, ἀλλὰ καὶ τὸ στέαρ μεταβάλλοντα ἐν τῷ χρόνῳ τὸ πρόσθεν ἑαυτῶν χρῶμα καὶ σαφῶς ὑπόχλωρα γινόμενα. εἰ δέ γε τὸ ὑπόχλωρον ὑπὸ τῆς ἰαζούσης χολῆς εἴη γεγενημένον (ἔστι γάρ, ὡς ἐδείχθη, δεύτερον καὶ τοῦτο τῆς χλωρᾶς φωνῆς σημαινόμενον), ἰσχυρᾶς συντήξεως ἔσται σημεῖον. λεῖον δὲ γίνεται πᾶν ὁτιοῦν τῶν ἐκκρινομένων τοῦ σώματος ἢ διὰ τὸ ὁμαλὴν πέψιν ἔχειν, ὥστε μηδὲν αὐτοῦ διαπεφευγέναι μέρος τὴν ἐκ τῆς φύσεως ἀλλοίωσιν ἢ διὰ ἰσχυρὰν σύντηξιν, ὡς μηδὲν ἐνταῦθα μόριον τῆς ὕλης ἀπαθὲς ὑπολειφθῆναι. ὥσπερ οὖν, ὅσα χρηστά, βελτίω ταῦτ’ ἐστὶν ὁμαλῶς φαινόμενα, κατὰ τὸν αὐτὸν τρόπον, ὅσα μοχθηρά, χείρω, καὶ ταῦτα πάντ’ ἐστὶν ὁμαλῶς ὄντα τοιαῦτα. δι’ ὅλων γὰρ ἑαυτῶν ἑκάτερα φαίνεται, τὰ μὲν τὸν τῆς φύσεως κόσμον δεδεγμένα, τὰ δὲ τὸ τῆς μοχθηρίας αἶσχος. τὸ δὲ γλίσχρο ν, ὅτι μὲν πολλάκις ἐπὶ τῶν πλεῖον ἤδη τεθερμασμένων γίνεται, πρόδηλον, ἐνίοτε δὲ καὶ ἡ τῶν ἐδεσμάτων ποιότης ἀπεργάζεται τοιούτους χυμούς.

18b 142 ἀλλ’ οὗτοι μέν, ὅταν ἐπὶ τὴν ἔκκρισιν ὁρμήσωσιν, οὐκ εἰσὶν ὀλίγοι· τὸ δὲ κατ’ ὀλίγον ἐκκρινόμενον γλίσχρον ἀποκεχώρηκε μὲν τούτων, ᾠκείωται δὲ συντήξεσι μετρίαις. ἐνίοτε δὲ αἱ σφοδραὶ συντήξεις ἀθρόας ἐργάζονται διαχωρήσεις. ἀλλ’ αἱ τοιαῦται πάντως εἰσὶ καὶ δυσώδεις καὶ ταύτῃ διορίζονται τῶν ὠμῶν χυμῶν οὐκ ὄντων δυσωδῶν. Τουτέων δ ’ ἔτι θανατωδέστερα εἴη τὰ μέλανα ἢ πελιδνὰ ἢ λιπαρὰ ἢ κάκοσμ α . Τὰ μέλανα μὲν ὑπὸ μελαίνης χολῆς ἀκράτου χρῴζεται, τὰ πελιδνὰ δὲ μετρίας τε καὶ μετρίως ἐπιμιγνυμένης αὐτοῖς γίνονται τοιαῦτα, λιπαρὰ δὲ διαχωρεῖται συντηκομέ νης τῆς πιμελῆς ὑπὸ πυρρώδους θερμασίας, τὰ δὲ κάκοσμα σηπεδόνος ἐστὶ γνωρίσματα.

18b 143 Τὰ δὲ ποικίλα χρονιώτερα μὲν τουτέω ν , ὀλέθρια δὲ οὐδὲν ἧσσο ν . ἔστι δὲ τὰ τοιαῦτα ξυσματώδεα καὶ χολώδεα καὶ αἱματώδεα καὶ πρασοειδέα καὶ μέλανα ποτὲ μὲν ὁμο ῦ , ποτὲ δὲ κατὰ μέρος διεξερχόμεν α . Τὰ ποικίλα πολλὰς εἶναι διαθέσεις ἐνδείκνυται· διὸ καὶ χρόνου δεῖται πρὸς τὴν πέψιν. πολλῶν γὰρ οὐσῶν διαθέσεων εἰκὸς μὲν εἶναί τινας ἐξ αὐτῶν χρονίας, εἰ δὲ μή, ἀλλ’ ἀπαντᾷ γέ πως τὴν φύσιν ὥσπερ ἀνταγωνισταῖς πολλοῖς διαγωνιζομένην ἀναλίσκειν πλείονα χρόνον. Φῦσαν δὲ ἄνευ ψόφου καὶ περδήσιος διεξιέναι ἄριστο ν , κρεῖσσον δὲ καὶ σὺν ψόφῳ διεξελθεῖν ἢ αὐτοῦ ἐναπει λῆφθαι καὶ ἐνειλέεσθα ι .

18b 144

καίτοι καὶ οὕτω διεξελθοῦσα σημαίνει πονέειν τι τὸν ἄνθρωπον ἢ παραφρονέει ν , ἢν μὴ ἑκὼν οὕτω ποιέηται τὴν ἄφεσιν τῆς φύση ς . Τὰς φύσας ἔνιοι μὲν ἐκκρίνουσι μετὰ ψόφου μηδὲν ἐπαισχυνόμενοι, τινὲς δὲ ἀποθανεῖν ἂν ἕλοιντο μᾶλλον ἢ τοῦτο πρᾶξαι. τούτους μὲν οὖν, ὅταν ἀκουόντων πολλῶν προϊῶνται φῦσαν, εἰδέναι χρὴ δυοῖν θάτερον, ἢ μὴ παρακολουθεῖν τοῖς πραττομένοις ἢ διὰ τὸ μέγεθος τῆς ὀδύνης κατηναγκάσθαι πρᾶξαί τι τῶν ἀβουλήτων. ἐπὶ δὲ τῶν ἄλλων, ὅσοι μηδόλως φροντίζουσι τῶν παρόντων, οὐδὲν μὲν σημαίνειν ἄτοπον ὑποληπτέον τὴν μετὰ ψόφου φῦσαν, ἄμεινον δ’ εἶναι κἀπὶ τούτων ἄνευ ψόφου. πάντως γὰρ ἤτοι πλῆθος ἐνδείκνυται τοῦ φυσώδους πνεύματος ἢ στενοχωρίαν τῶν ὀργάνων. ὅταν δὲ τὸ πνεῦμα μὴ πάνυ πολὺ ᾖ τά τ’ ὄργανα, δι’ ὧν ἐκκρίνεται, χαλαρὰ τελέως ᾖ, χωρὶς ψόφου τοῖς τοιούτοις ἡ τῆς φύσης ἀπόκρισις γίνεται. Τοὺς δὲ τῶν ὑποχονδρίων πόνους τε καὶ τὰ κυρτώματ α , ἢν νεαρά τε ᾖ καὶ μὴ σὺν φλεγμον ῇ , λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ καὶ μάλιστα μὲν διεξελθὼν σὺν κόπρῳ τε καὶ οὔρ ῳ , εἰ δὲ μ ή , καὶ αὐτὸς διαπεραιωθείς 〈ὠφελέει 〉 · ὠφελέει δὲ καὶ ὑποκαταβὰς εἰς τὰ κάτω χωρί α .

18b 145 Κυρτώματα τῶν ὑποχονδρίων ὠνόμασεν, ἃ διὰ τῶν ἔμπροσθεν ‘οἰδήματα‘ προσηγόρευσεν, ἔστι δὲ ταῦτα πάντες οἱ παρὰ φύσιν ὄγκοι, χωρὶς μὲν φλεγμονῆς οὗτοι γινόμενοι πνευματώδεις καὶ μάλισθ’, ὅταν ὦσι πρόσφατοι. λύεσθαι δέ φησι βορβορυγμοῦ ἐπιγενομένου κατὰ τὸ ὑποχόνδριο ν. ὁ γὰρ τοιοῦτος ψόφος οὐ μόνον πνεύματός ἐστι σημεῖον, ἀλλ’ ὑγρῷ συμμιγοῦς καὶ σώματι στερεῷ. ὅταν οὖν ἤτοι διεξέλθῃ κάτω τὸ φυσῶδες τοῦτο πνεῦμα φῦσα γενόμενον ἢ μὴ διεξελθὸν ὑποκαταβῇ πρός τι τῶν κάτω χωρίων, ἀπαλλάττει τὸ ὑποχόνδριον ἀμφοτέρων τῶν συμπτω μάτων τῆς τε ὀδύνης καὶ τοῦ οἰδήματος, ἔτι δὲ μᾶλλον, εἰ καὶ σὺν οὔρῳ καὶ κόπρῳ κενωθείη.

18b 146 καταλείπει γὰρ οὐδὲν ἔτι περιττὸν ἡ τοιαύτη κένωσις ἐν τοῖς ὑποχονδρίοις. Οὖρον δὲ ἄριστον μέν ἐστι ν , ὅταν λευκή τε ἡ ὑπόστασις ᾖ καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνο ν , ἔς τ ’ ἂν κριθῇ ἡ νοῦσο ς . σημαίνει τε γὰρ ἀσφάλειαν καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθα ι . εἰ δὲ διαλείποι καὶ ποτὲ μὲν καθαρὸν οὐρέο ι , ποτὲ δὲ ὑφίσταται τὸ λευκόν τε καὶ λεῖο ν , χρονιωτέρα γίνεται ἡ νοῦσος καὶ ἧσσον ἀσφαλή ς . Ὥσπερ ὀλίγον ἔμπροσθεν ἔφην, ἐκ μὲν τῶν κατὰ προαίρεσιν ἐνεργειῶν γνωρίζεσθαι μίαν δύναμιν, ὅπως ἔχει ῥώμης τε καὶ ἀρρωστίας, ἣν τῆς ἄνωθεν ἀρχῆς ἔλεγεν ὑπάρχειν, ἣν ἐδίδαξα δι’ ἑτέρων ἐν ἐγκεφάλῳ καθιδρυμένην, οὕτω δὴ νῦν ἄλλης δυνάμεως φυσικῆς ὁ Ἱπποκράτης σημεῖα τὰ μὲν ἤδη διῆλθεν, τὰ δὲ καὶ κατὰ τὸν ἐνεστῶτα λόγον διεξέρχεται· καλεῖται δὲ ἡ δύναμις, περὶ ἧς φημι προκεῖσθαι τὸν λόγον, ἀλλοιωτική τε καὶ πεπτική.

18b 147 τὰ μὲν οὖν τῆς κατὰ γαστέρα δυνάμεως σημεῖα διὰ τῶν ὑπερχομένων ὁσημέραι γνωρίζεται, τὰ δὲ τῆς καθ’ ἧπάρ τε καὶ φλέβας ἐκ τῶν οὔρων. ἔστι γὰρ καὶ ἐν τούτοις ἐναργέστατα σημεῖα τὰ μὲν ἀκριβοῦς πέψεως, τὰ δὲ ἐλλιποῦς, τὰ δὲ καὶ τελέως ἀποτυγχανομένης, ὥσπερ καὶ ἐν τοῖς κατὰ γαστέρα πρὸς τούτοις ἔξωθεν. ὥσπερ ἐκεῖ συνεκκρίνεταί τινα γνωρίσματα διαθέσεων ἑτέρων, οὕτω κἀνταῦθα. τὴν μὲν οὖν ἀρχὴν τῆς διδασκαλίας ὁ Ἱπποκράτης ἀπὸ τῶν τῆς πέψεως γνωρισμάτων ἐποιήσατο, συνάψει δ’ αὐτοῖς ἐφεξῆς τἄλλα. περὶ πρώτων οὖν καὶ ἡμεῖς λέγωμεν, ἃ πρῶτα διῆλθεν ἐκεῖνος ἐν τῇ προκειμένῃ ταύτῃ ῥήσει τὰς ὑποστάσεις τῶν οὔρων σκέπτεσθαι κελεύων, εἰ λευκαὶ καὶ λεῖαι καὶ ὁμαλαὶ πᾶσαι τυγχάνουσιν οὖσαι καὶ μὴ ποτὲ μὲν τοιαῦται, ποτὲ δὲ ἑτεροῖαι. γίνεται γὰρ καὶ τοῦτο συνεχέστατα. καί τις οὐρήσας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν ἄμεμπτον ἕτερον οὔρησε κατὰ τὴν ἑξῆς νύκτα μεμπτόν, εἶτ’ αὖθις ἄμεμπτον ἐπὶ τῆς τρίτης ἡμέρας ἕωθεν, εἶτ’ εἰς ἑσπέραν μεμπτόν.

18b 148 ἐκ μὲν δὴ τῶν τοιούτων οὔρων ἐμφαίνεται τούτῳ τὸ μέν τι πεττόμενόν τε καὶ κρατούμενον ὑπὸ τῆς φύσεως τῶν ἐν τοῖς ἀγγείοις χυμῶν, τὸ δὲ ἀπεπτούμενον. ἐὰν δὲ μηδαμοῦ παρεμπίπτῃ τῷ πεπεμμένῳ τὸ ἄπεπτον, ἄριστον οὖρόν ἐστι τὸ τοιοῦτον. εἰ μὲν οὖν ὑπόστασιν ἴσχει, λευκήν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τε εἶναι χρὴ ταύτην καὶ ὁμαλὴν καὶ λείαν διὰ παντὸς τοῦ χρόνου μέχρι λύσεως τοῦ νοσήματος ὁμοίως γινομένην· εἰ δ' οὐκ ἔχει, πάντως μὲν ἕξει τινὰ νεφέλην λευκήν, ἐξ ἀνάγκης δὲ καὶ τῇ χροιᾷ συμμέτρως ὠχρὸν ἔσται καὶ τῇ συστάσει μεταξὺ τοῦ λεπτοῦ καὶ ὑδατώδους καὶ τοῦ παχέος, ὁποῖόν ἐστι τὸ τῶν ὑποζυγίων. ἀλλὰ τὰ μὲν οὐδ' ὅλως ἔχοντα τὰς τοιαύτας ὑποστάσεις οὖρα τοῖς λεπτῶς πάνυ διῃτημένοις γίνεται, τὰ δὲ πολλὴν τοῖς ἁδρῶς, τὰ δὲ ὀλίγην τοῖς συμμέτρως. ἔτι δ' ἐν μὲν τοῖς χολώδεσι νοσήμασιν ἐπὶ τὸ ξανθότερον ῥέπει κατὰ τὴν χρόαν, ἐν δὲ τοῖς ἐξ ὠμῶν χυμῶν γινομένοις ἐπὶ τὸ λευκότερον ὑπόστασίν τε τὰ μὲν ἐπὶ τοῖς ὠμοῖς ἴσχει δαψιλῆ, τὰ δ' ἐπὶ τοῖς χολώδεσιν ἢ οὐδ' ὅλως ἢ παντάπασιν ἐλαχίστην, ἀλλ' ἱκανόν ἐστιν αὐτοῖς ἐναιώρημα ἔχειν. [15]

18b 149 ὀνομάζω δὲ ἐναιώρημα τὸ παχύτερον μέν τι καὶ λευκότερον οὔρου, μήτε δὲ ἐπιπολῆς αὐτοῦ μήτε ἐν τῷ πυθμένι τοῦ ἀγγείου, κατὰ δὲ τὴν μεταξὺ χώραν ἐναιωρούμενον ἤτοι μέσον ἀκριβῶς ἢ κάτω μᾶλλον ἢ ἄνω. τὰ μὲν οὖν τοιαῦτα σύνηθές μοι καλεῖν ἐναιωρήματα, πρὸς Ἱπποκράτους γε μὴν καὶ ταῦτα 'νεφέλαι' προσαγορεύονται, τὴν αὐτὴν ἀναλογίαν ἔχουσαι περὶ τὸ οὖρον, ἣν αἱ ὄντως νεφέλαι πρὸς τὸν ἀέρα. καὶ γὰρ καὶ ταῦτα τοῦ πέριξ ἑαυτῶν ὑγροῦ παχύτερα κἀκεῖναι τοῦ ἀέρος. πολλάκις οὖν, ὡς ἔφην, ἐφίσταταί τι τοῖς οὔροις ἄνωθεν, ὅπερ ἐγὼ νεφέλην ἰδίως ὀνομάζειν εἴωθα. ταυτὶ μὲν οὖν ἐγνώσθω τέ σοι καὶ μνημονευέσθω πρῶτα, μετὰ δὲ ταῦτα πρόσεχε τὸν νοῦν οἷς ἔγραψεν ὁ Ἱπποκράτη c. τὸ γὰρ διὰ παντὸς ὑπόστασιν οἵαν εἴρηκε ποιούμενον οὖρον ἀσφάλειάν τε σημαίνει, τουτέστιν ἀκίνδυνον εἶναι τὸ νόσημα καὶ τελέως λυθησόμενον ὡς μηκέτι ὑποστρέψειν καὶ πρὸς τούτοις ἔτι ταχεῖαν αὐτοῦ γίνεσθαι τὴν λύσιν, ὥστ', εἰ καὶ κατὰ τὴν πρώτην ἡμέραν ἢ καὶ τὴν ἐχομένην αὐτῆς νύκτα φανὲν ὅμοιον διαμένοι κατά τε τὴν δευτέραν ἡμέραν καὶ νύκτα, τῆς πρώτης περιόδου τῶν κρισίμων ἡμερῶν οὐκ ἂν ἐξωτέρω προέλθοι τὸ νόσημα. [15]

18b 150 λέγω δὲ ταῦτα δηλονότι περὶ τῶν πυρετωδῶν νοσημάτων ὡς, ὅσα γε χωρὶς πυρετῶν ἤτοι κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας ἢ κατὰ τὸν θωρακά τε καὶ πνεύμονα συνίσταται, δι' ἄλλων σημείων γνωρίζομεν, εἴτ' ἐπιεικῆ τε καὶ ταχυκρίσιμ' ἐστὶν εἴτε κινδυνώδη τε καὶ χρόνια. διὰ τί δὲ χρὴ τὴν ὑπόστασιν τῶν οὔρων λευκὴν εἶναι, ἔμπροσθεν ἐν τῷ περὶ τοῦ πύου δέδεικται λόγῳ κατὰ τὸ τέλος τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων. Εἰ δὲ εἴη τὸ οὖρον ὑπέρυθρον καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λεί η , πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρώτου γίνετα ι , σωτήριον δὲ κάρτ α . Ὅταν αἵματος ὀρρὸς συναπέρχηται τῷ οὔρῳ, φαίνεται μὲν κατὰ τὴν χρόαν ὑπέρυθρον, ἐνδείκνυται δὲ περιουσίαν αἵματος οὐκ ἀκριβῶς κατειργασμένου. [14]

18b 151 διότι μὲν οὖν τοῦ χρηστοτάτου τῶν χυμῶν ἐστιν ἡ πλεονεξία, διὰ τοῦτο ἀκίνδυνον ὑπάρχει. διότι δ' ὑγροτέρου τε καὶ ὀρρωδεστέρου τούτου, διὰ τοῦτο χρῄζει πέψεως. εἴπερ οὖν ἐκ τῶν χρόνων οἱ πεπασμοὶ γίνονται, δεόντως τὸ τοιοῦτον οὖρον χρονιωτέραν ἔσεσθαι παρὰ τὸ πρότερον ἐνδείκνυται τὴν λύσιν τοῦ νοσήματος. Κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν ὑποστάσιες πονηρα ί , τουτέων δ ' ἔτι κακίους εἰσὶν αἱ πεταλώδεε c . αἱ δὲ λεπταὶ καὶ λευκαὶ κάρτα φλαῦραι · τουτέων δ ' ἔτι κακίους αἱ πιτυρώδεε c . Κρῖμνα καλεῖται τὰ τοῖς ἀλφίτοις ἐμφερόμενα τῆς πεφρυγμένης κριθῆς μόρια μεγάλα διαπεφευγότα δηλονότι τὴν ἐν τῇ μύλῃ κατεργασίαν ἀκριβῆ. [11]

18b 152 τοιαῦτα τοίνυν ὅταν ἐμφέρηται ταῖς ὑποστάσεσι τῶν οὔρων, οὐκ ἀγαθόν ἐστι σημεῖον. ἐν μὲν γὰρ τοῖς ἀλφίτοις τὸ μὴ καταθραυσθὲν εἰς ἄκρως λεπτὰ μόρια γίνεται κρῖμνον, ἐν δὲ τοῖς οὔροις οὐ δήπου τῶν σιτίων τι συναναδοθὲν ἔμεινεν ἔτι σκληρόν, ἀλλ' ἐξ ὑπεροπτήσεως αἵματος παχέος ἢ συντηκομένων ἀνωμάλως τῶν σαρκῶν γίνεται ταῦτα. τὸ δὲ ἀνωμάλως ἔστιν, ὅταν ὑπὸ πυρετώδους θερμασίας, ὅσον μὲν ἁπαλόν τέ ἐστι καὶ νεοπαγὲς τῆς σαρκός, εἰς ἰχῶρα ἀναλυθῇ, τὸ σκληρὸν δὲ τοῖς πεφρυγμένοις ἐπὶ ταγήνου παραπλησίως συστῇ ξηρανθέν. πρῶτον μὲν γὰρ ἡ νέα καὶ ἁπαλὴ πιμελὴ τήκεται κατὰ τοὺς τοιούτους πυρετούς, εἶθ' ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκληροτέρα καὶ παλαιοτέρα καὶ μετὰ ταύτην αἱ νέαι καὶ ἁπαλαὶ σάρκες, εἶθ’ αἱ σκληραὶ καὶ παλαιαὶ καὶ τούτων ἐφεξῆς ἤδη τὰ στερεὰ μόρια τοῦ σώματος, ὧν πάλιν ἀνωμάλως συντηκομένων πεταλώδη μόρια τοῖς οὔροις συνεκκρίνεται. διὸ καὶ χείρω τὰ τοιαῦτά ἐστιν οὖρα τῶν τὰ κριμνώδη μόνον ἐχόντων. ἕτεραι δέ εἰσιν ὑποστάσεις λεπτα ί, τουτέστιν οὐκ ἔχουσαι πάχος, ἀλλ’, ὡς ἂν εἴποι τις, ἀφρῷ παραπλήσιαι.

18b 153 εὐθέως δέ εἰσιν αἱ τοιαῦται καὶ λευκα ί, διότι δέχονται δι’ ὅλων ἑαυτῶν τὴν τοῦ περιέχοντος αὐγὴν μᾶλλον τῶν παχέων. ἡ γένεσις δ’ αὐταῖς ἐκ φυσώδους πνεύματος ἀναμεμιγμένου δυσλύτως ἡμιπέπτῳ περιττώματι χυμῶν. ἴδιον γάρ ἐστιν αὐτῶν τῶν τελέως πεπεμμένων, ὃ καλεῖν εἴωθα ὁμαλές. γίνεται δὲ τὸ τοιοῦτον, ὅταν ὁμοιομερὲς ὑπάρχῃ πᾶν, ὡς τό γε μεμιγμένον ἑτεροίῳ σώματι διάφορα τὰ μόρια κατά τε τὴν σύστασιν ἔχει καὶ τὴν χροιάν. αὐτῶν δὲ τῶν ἀνωμάλων τὰ κατὰ σμικρὰ μόρια τῶν κατὰ μεγάλα τὴν ἀνωμαλίαν ἐχόντων ἐστὶ χείρω. τὰ μὲν γὰρ κατὰ μεγάλα μεγάλην τινὰ ῥώμην τῆς φύσεως ἐνδείκνυται τοσαύτην ὅσον πέρ ἐστι τὸ μέγεθος τῆς οὐσίας ἀκριβῶς κατειργασμένον, τὰ δὲ κατὰ σμικρὰ νικᾶσθαι πρὸς τῆς ὕλης τὴν δύναμιν ἐμφαίνει καὶ οἷον μάχην τινὰ ἔχειν ἐν αὐταῖς ἰσοσθενῆ. τοῦτο μὲν δὴ κοινὸν ἐπὶ πάντων ἐστὶ τῶν ἀνωμάλων. αἱ δὲ κατὰ μέρος ἐν αὐταῖς διαφοραὶ παρά τε τὴν τοῦ πεφθέντος ἀρετὴν γίνονται καὶ τὴν κακίαν τοῦ μὴ πεφθέντος.

18b 154 ἐπὶ δὲ ταῖς εἰρημέναις τρισὶ διαφοραῖς τῶν ὑποστάσεων ἄλλην τετάρτην λέγει τὴν πιτυρώδη χείρω τῆς τρίτης, ὡς ἂν καὶ αὐτὴν ἐνδεικνυμένην ὁμοίως τῇ τε πρώτῃ καὶ τῇ δευτέρᾳ τὴν θερμασίαν τοῦ πυρετοῦ φλογώδη καὶ συντηκτικήν, ἣν ἐχρῆν οὐ τετάρτην, ἀλλὰ τρίτην γεγράφθαι. Νεφέλαι δὲ ἐμφερόμεναι τοῖσιν οὔροισι λευκαὶ μὲν ἀγαθα ί , μέλαιναι δὲ φαῦλα ι . Περὶ τῶν ἐν ταῖς ὑποστάσεσι διαφορῶν εἰπὼν ἑξῆς ἐπὶ τὰς νεφέλας μετέβη δηλώσας ὅτι τὸ ἐναιώρημα νεφέλην ὀνομάζει τῇ προσθήκῃ τοῦ ἐμφερόμεναι ῥήματος, ὧν ὅτι τὰς μελαίνας εἰκότως μέμφεται δῆλον, εἴ γε δὴ τὸ μέλαν ἢ διὰ ψύξιν ἰσχυρὰν γίνεται, καθ’ ὃν λόγον καὶ τὸ αἷμα μελαίνεται θρομβούμενον ὅσα τε νεκροῦται ψυγέντα τελέως ἢ δι’ ὑπερβάλλουσαν θερμασίαν.

18b 155 καὶ γὰρ αὖ καὶ τὸ αἷμα μελαίνεται καιόμενον, ὥσπερ καὶ τὰ ἄλλα σύμπαντα σώματα, καὶ οἱ πολλῷ χρόνῳ διατρίψαντες ἐν ἡλίῳ θερινῷ μέλανες γίνονται. Ἔς τ ’ ἂν δὲ λεπτὸν ᾖ τὸ οὖρον καὶ πυρρό ν , ἄπεπτον εἶναι δηλοῖ τὸ νόσημ α . Τὸ κατὰ φύσιν οὖρον μετρίως ἐστὶν ὠχρὸν ὡς ἂν ἐκ τοῦ πεφθέντος ὑγροῦ γεγονὸς ὀλίγον τε τῆς ξανθῆς χολῆς προσειληφός· ὅταν δὲ ἤτοι πλείων [ᾖ] αὕτη τοῦ δέοντος ἢ ἄκρατος ἰσχυρῶς οὖσα προσαναμιχθῇ τῷ οὔρῳ, πυρρὸν φαίνεται. ἐὰν οὖν πρὸς τῷ τοιοῦτον εἶναι κατὰ χροιὰν ἔτι καὶ λεπτὸν εἴη κατὰ τὴν σύστασιν, ἄπεπτον εἶναι σημαίνει τὸ νόσημ α. χρὴ γάρ, ὥσπερ ἐν τῇ χροιᾷ μετρίως ὠχρὸν ἔφαμεν εἶναι δεῖν τὸ κατὰ φύσιν οὖρον, οὕτως καὶ κατὰ τὴν σύστασιν ἔχειν μετρίως, μήθ’ οὕτως λεπτὸν ὑπάρχον ὡς ὕδωρ μήθ’ οὕτως γεγονὸς παχύ, ὡς ἐοικέναι τοῖς τῶν ὑποζυγίων.

18b 156 εἴρηται δὲ τελέως ἅπαντα περὶ τῆς τῶν οὔρων φύσεως τε καὶ διαφορᾶς ἐν τοῖς Περὶ κρίσεων. ἐκεῖθεν οὖν αὐτὰ λαμβάνει, ὅστις ἂν ἐραστὴς προγνωστικῆς ᾖ θεωρίας. ἐν γὰρ ταῖς ἐξηγήσεσιν ὁ σκοπός ἐστι σαφὲς ἐργάσασθαι τὸ δοκοῦν ἀσαφῶς εἰρῆσθαι· τὸ δὲ καὶ διακρῖναι, τίνα μὲν αὐτῶν ἀληθῶς εἴρηται, τίνα δὲ οὔ, καὶ προσθεῖναι τὰς ἀποδείξεις ἑκατέροις, ἐκ περιουσίας γίνεται. Εἰ δὲ καὶ πολυχρόνιον εἴη τὸ νόσημ α , τὸ δὲ οὖρον τοιοῦτον ἐό ν , κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσα ι , ἔς τ ’ ἂν πεπανθῇ ἡ νοῦσο c . Ἐὰν ἐπὶ πλείονα χρόνον ἄπεπτον διαμείνῃ τὸ νόσημα, κίνδυνος ἀπολέσθαι τὸν ἄνθρωπον, εἰ μή τι ἄρα τὴν ἀντέχουσαν τῷ νοσήματι δύναμιν ἰσχυροτέραν ἔχει. δῆλον οὖν ὅτι κἀνταῦθα τῶν κατὰ τοὺς Ἀφορισμοὺς εἰρημένων μεμνη μένος ἐπισκέψῃ, πηλίκη μέν ἐστιν ἡ ῥώμη τῆς δυνάμεως, ὁπόσης δὲ πέψεως δεῖται τὸ νόσημα καὶ εἰ ὁ κάμνων ἐξαρκέσει μέχρι τῆς ἀκμῆς αὐτοῦ.

18b 157

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θανατωδέστερα δὲ τῶν οὔρων ἐστὶ τὰ ὑδατώδεα καὶ δυσώδεα καὶ μέλανα καὶ παχέ α . Τὰ ὑδατώδη λεπτὰ μὲν τὴν σύστασίν ἐστιν, λευκὰ δὲ τὴν χροιάν, ἀπεψίαν μὲν ἐσχάτην ἐνδεικνύμενα τῶν χυμῶν, ἀρρωστίαν δὲ τῆς φυσικῆς δυνάμεως. περὶ δὲ τῶν δυσωδῶν ἁπάντων εἴρηται πρόσθεν ὥσπερ γε καὶ περὶ τῶν μελαινομένω ν. ταῦτα μὲν οὖν αὐτὰ καθ’ ἑαυτὰ καὶ σὺν ἀλλήλοις ἐστὶ θανατώδη. τὰ δὲ παχέα πότερον αὐτὰ καθ’ ἑαυτὰ καὶ ταῦτα θανατώδη νομιστέον ἢ συμπλέξαι χρὴ τοῖς προειρημένοις αὐτὰ καὶ τοῖς μέλασιν, ἄξιόν ἐστιν ἐπισκέψεως. ὅσα τοίνυν ἡμεῖς εἴδομεν, ἀκριβῶς παραφυλάξαντες ἐροῦμεν, ἵν’ ἐξ αὐτῶν τις ὁρμώμενος ἅμα μὲν ἐπίστηται τὸ ἀληθές, ἅμα δὲ καὶ τὴν βελτίω τῶν ἐξηγήσεων ἕληται. τὰ μέλανα τῶν οὔρων, ὅσῳ περ ἂν ᾖ παχύτερα, τοσούτῳ χείρω παρεφυλάξαμεν ὄντα· τὰ δὲ τῆς κατὰ φύσιν χροιᾶς μὴ ἐκστάντα παχέα διττὴν ἔχοντα τὴν ἔκβασιν, ἐνίοτε μὲν ἐπ’ ὄλεθρον, ἐνίοτε δὲ εἰς ὑγείαν ὑπόγυον τελευτῶντα, καθάπερ καὶ ἄλλα πολλὰ τῶν παρὰ φύσιν, ὡς ἂν ἐκκαθαίρηται δι’ αὐτῶν τὸ σῶμα. [5]

18b 158 δῆλον δ’ ὅτι παχέα πρὸς αὐτοῦ λέλεκται τὰ πάνυ σφόδρα τοιαῦτα. τὰ γὰρ ἁπλῶς παχύτερα τῶν κατὰ φύσιν οὐ πάντως ἐστὶν ὀλέθρια. Ἔστι δὲ τῇσι μὲν γυναιξὶ καὶ τοῖσιν ἀνδράσι τὰ μέλανα τῶν οὔρων κάκιστ α , τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδε α . Ἐν πάσαις μὲν ταῖς ἡλικίαις ὀλέθρια τά τε μέλανα τῶν οὔρων ἐστὶ καὶ τὰ ὑδατώδη, ἀλλ’ ἐπὶ μὲν τῶν ἀκμαζόντων τὴν πρώτην ἔχει τάξιν ὡς ἐν ὀλεθρίοις τὰ μέλανα, ἐπὶ δὲ τῶν παιδίων τὰ ὑδατώδ η. λέλεκται γὰρ ἔμπροσθεν αὐτῷ τὰ ἐναντιώτατα τοῖς κατὰ φύσιν ὀλεθριώτατα ὑπάρ χειν. [10]

18b 159 ἐναντιώτατα δέ ἐστι τοῖς κατὰ φύσιν ἐπὶ τῶν παιδίων οὐχ οὕτως τὰ μέλανα ὡς τὰ λεπτά. κατὰ φύσιν γὰρ αὐτοῖς ἐστιν οὐρεῖν παχέα τε καὶ πολλὴν ὑπόστασιν ἔχοντα, τοῖς δ’ ἀκμάζουσιν ὀλίγην ὑπόστασιν ἔχοντα καὶ λεπτότερα γίνεται· διόπερ ἐπ’ αὐτῶν ἐστιν ὀλεθριώτατα τὰ μέλανα τῶν οὔρων. ἐπὶ δὲ τῶν παιδίων καὶ δι’ ἄλλην αἰτίαν ὀλέθρια τὰ ὑδατώδ η. τάχιστα γὰρ ἐπ’ αὐτῶν πέττεται πάντα διὰ ῥώμην τῆς ἀλλοιωτικῆς δυνάμεως, αἱ πέψεις δὲ παχύνουσιν οὐκ οὖρα μόνον, ἀλλὰ καὶ διαχωρήματα τοῖς εὐπεπτοῦσι κατὰ γαστέρα καὶ πτύσματα περιπνευμονικοῖς τε καὶ πλευριτικοῖς καὶ φλέγμα ἐν κατάρροις καὶ κορύζαις καὶ λήμας ἐν ὀφθαλμίαις καὶ πῦον ἐν ἕλκεσιν. ἐὰν οὖν φαίνηται τοῖς παισὶ τὸ οὖρον ὑδατῶδες ἐπὶ πλέονα χρόνον παραμένον, ὡς μηδεμίαν μεταβολὴν ἴσχειν ἐπὶ τὸ παχύτερον, ὀλέθριον γίνεται τὸ σημεῖον. Ὁκόσοισι δὲ οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέουσι πολὺν χρόνον ἢν καὶ τἄλλα σημεῖα ὡς περιεσομένοισιν ᾖ , τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρί α . [13]

18b 160 Ἀληθέστατα καὶ τοῦτο εἴρηται τῷ Ἱπποκράτε ι. τὰ μὲν γὰρ δυσπεπτότερα τῶν νοσημάτων, ὡς ἂν ἐπὶ παχυτέροις καὶ ψυχροτέροις γινόμενα χυμοῖς, ταῖς ἀποστάσεσιν εἴωθε κρίνεσθαι, τὰ δὲ ἐπὶ θερμοῖς καὶ λεπτοῖς, ἐκκρίσεσιν. ὅταν οὖν ποτε χρόνῳ πλείονι παραμένῃ τὰ οὖρα μὴ πεττόμενα, διορίζεσθαι χρή, πότερον οὐκ ἐξαρκέσει τῷ μήκει τοῦ νοσήματος ὁ κάμνων ἢ δι’ ἀποστάσεως κριθήσεται. ὁ διορισμὸς δὲ ἀπὸ τῶν ἄλλων σημείων γενήσεται· τὰ μὲν γὰρ ὀλέθρια θάνατον δηλώσει, τὰ δὲ ἐπιεικῆ σωτηρίαν. αἵ γε μὴν ἀποστάσεις ἐν μὲν τοῖς πάνυ χρονίζουσιν ἐς τὰ κάτω χωρία γίνονται διά τε τὴν ψυχρότητα καὶ τὸ πάχος τῆς ὕλης καὶ τὴν τῆς δυνάμεως ἀρρωστίαν κεκμηκυίας διὰ τὸν χρόνον, ἐν δὲ τοῖς ὀξυτέροις παρ’ ὦτα. [15]

18b 161 καὶ γὰρ καὶ οἱ χυμοὶ τούτοις ἧττόν εἰσι παχεῖς καὶ ἡ θερμασία πολλὴ καὶ ἡ δύναμις εὐρωστοτέρα, τὰ δὲ μεταξὺ τούτων νοσήματα τὰς ἀποστάσεις ἐπαμφοτεριζούσας ἔχει καὶ οὐδέν ἐστιν ὅσον ἐπὶ τῷ χρόνῳ ζητεῖν, εἰ ἄνω μᾶλλον ἢ κάτω ῥέψουσιν, ἀλλ’ ἐκ τῶν ἄλλων σημείων διορίζεσθαι προσήκει. Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι · συντήξιος γὰρ σημεῖο ν . Οἷόν τι τοῖς λιπαροῖς ζωμοῖς ψυχομένοις ἐφίσταται τὸ καλούμενον ὑπὸ τῶν πολλῶν ‘γραῦς‘, τοιοῦτον καὶ τοῖς ἐκ συντήξεως οὔροις, ὑπὲρ ὧν νῦν ἐποιήσατο τὸν λόγον αὐτὸς καὶ τὴν αἰτίαν προσθείς. Σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσιν αἱ νεφέλα ι , ἥν τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κάτω ὦσι ν , ἥν τε ἄν ω , καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι καὶ τὰς μὲν κάτω φερομένας σὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται ἀγαθὰς εἶναι καὶ ἐπαινέει ν , τὰς δὲ ἄνω σὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται κακὰς εἶναι καὶ μέμφεσθαι τὰς τοιαύτα ς . [11]

18b 162 Ὅτι τὰ πρὸς ἐμοῦ κατὰ τὰ Περὶ κρίσεων ὑπομνήματα πολλάκις ‘ἐναιωρήματα‘ λελεγμένα καλεῖν αὐτὸς εἴωθε νεφέλα ς, ἐδήλωσε καὶ διὰ τῆσδε τῆς ῥήσεως οὐκ ἀσαφῶς. ἀλλαχοῦ γε μὴν αὐτὸς ἐναιώρημα γονοειδὲς εἴρηκεν, ὡς εἶναι δυοῖν θάτερον, ἤτοι γενικωτέρου πράγματος εἶναι τὸ ἐναιώρημα ὄνομα τὴν τομὴν ἔχοντος εἴς τε τὰς νεφέλας καὶ τὰ γονοειδῆ ἢ μηδέποτε τὰς νεφέλας ἐναιωρήματα καλεῖσθαι πρὸς αὐτοῦ. ὅτι δὲ πάντα τὰ τοῖς οὔροις ἐμφαινόμενα χρηστά, ὅσῳ περ ἂν ὑφίζῃ κάτω, τοσούτῳ βελτίω γίνεται, λέλεκται δυνάμει πρόσθεν, ἡνίκα ἐλέγομεν ἀναμεμῖχθαι τοῖς τοιούτοις ἐνίοτε φυσῶδες πνεῦμα. τὸ τοίνυν ἀκριβῶς πεπεμμένον τε καὶ διακεκριμένον ὁμαλές τε καὶ ὁμοιομερὲς ὂν ὡς ἂν οὐδὲν ἔχον πνεύματος, εἰς τὸν πυθμένα καταφέρεται τοῦ τὸ οὖρον ἀγγείου περιέχοντος. [15]

18b 163 ὅσον δ’ ἐπίμικτόν ἐστιν ἀερώδει τινὶ καὶ ἀτμώδει φύσει, τοῦτο κουφιζόμενον ὑπ’ ἐκείνης ἀνὰ λόγον τῇ ποσότητι τοῦ κουφίζοντος ἧττόν τε καὶ μᾶλλον ἄνω φέρεται. Μὴ ἐξαπατάτω δέ ς ε , ἤν τι αὐτὴ ἡ κύστις νόσημα ἔχουσα τῶν οὔρων τι ἀποδιδῷ τουτέω ν . οὐ γὰρ τοῦ ὅλου σημεῖο ν , ἀλ λ ’ αὐτῆς κα θ ’ ἑαυτὴν τῆς κύστεω ς . Κάλλιστα καὶ τοῦτο προσέγραψεν ἀναμιμνήσκων ἡμᾶς, ὃ τάχ’ ἂν ἐνίοτε παρελίπομεν ἐπὶ τῶν νοσούντων διορίσασθαι. καὶ χρὴ δηλονότι καὶ περὶ τῶν διαχωρουμένων κατὰ γαστέρα μεμνῆσθαι τοῦ νῦν εἰρημένου διορισμοῦ. κοινὸν μὲν γὰρ ἀμφοτέραις ταῖς ἐκκρίσεσίν ἐστι τό τε τοῦ παντὸς σώματος ὑποδέχεσθαι τὰ περιττώματα ταῦτα καὶ τὰ τῶν μορίων ἐκείνων, δι’ ὧν ἐκκρίνεται. συμβέβηκε δὲ κατὰ φύσιν ἐχόντων ἡμῶν τὰ μὲν τοῦ παντὸς σώματος ἐκκαθαίρεσθαι περιττώματα δι’ οὔρων, τὰ δὲ τῶν κατὰ γα στέρα συνεξέρχεσθαι τῇ κόπρῳ, παρὰ φύσιν δ’ ἐχόντων τοῖς μὲν οὔροις συνεκκενοῦσθαί τινα τῶν ἐν νεφροῖς καὶ κύστει νοσημάτων γνωρίσματα, τῇ δὲ κόπρῳ τοῦ παντὸς σώματος. [10]

18b 164 οὐκ ὀλιγάκις γοῦν ἐπὶ τῶν οὐρησάντων πυώδη ζήτησις ἐγένετο, πόθεν ἥκει τὸ πῦον. οὕτω δὲ καὶ πεταλώδη ποτὲ οὐρηθέντα τὴν αὐτὴν ζήτησιν εἰργάσατο. καὶ δριμέα δὴ καὶ δυσώδη καὶ χολώδη τὰ οὖρα πολλάκις μὲν ἐγένετο διὰ κύστιν τε καὶ νεφρούς, οὐκ ὀλιγάκις δὲ καὶ διὰ τὸ πᾶν σῶμα, τουτέστι τὴν ἐν ὅλῳ τῷ ζῴῳ πεπτικὴν τῶν χυμῶν δύναμιν, ἥ τις, ὡς ἐδιδάξαμεν, οἷον ἑστίαν καιομένην καὶ πηγὴν ἔχει τὸ ἧπαρ, ἐνίοτε δὲ καὶ ταύτης αὐτῆς μηδὲν πεπονθυίας ἤδη γε ἐκκαθαίρεται διὰ νεφρῶν καὶ κύστεως ὅλον τὸ ζῷον ἢ μορίων τινῶν ἐν αὐτῷ τινα περιττώματα ταῖς φλεψὶν ἐμπίπτοντα καθαιρομένου τοῦ αἵματος ὑπὸ τῶν νεφρῶν συνεκκρίνεται, καθότι καὶ ἀποστήματα πολλαχόθεν γενόμενα δι’ οὔρων ἐκκρίνεται. Ἔμετος δὲ ὠφελιμώτατος φλέγματός τε καὶ χολῆς συμμεμιγμένων ὡς μάλιστα καὶ μὴ παχὺς μηδὲ πολὺς κάρτα ἐμείσθω · οἱ γὰρ ἀκρητέστεροι κακίου ς . [14]

18b 165 Καὶ διὰ ταύτης τῆς λέξεως ἐδήλωσεν, ὁποῖόν τι καλεῖ τὸ ἄκρατον, ἀντιθεὶς αὐτῷ τὸ μεμιγμένο ν. δηλωτικὸν δὲ οὐχ ἥκιστα καὶ αὐτὸ τοὔνομά ἐστι τοῦ πρὸς αὐτοῦ σημαινομένου. καὶ γὰρ οἶνον ἄκρατον εἶναι λέγομεν, ᾧ μὴ μέμικται τὸ ὕδωρ ἢ παντάπασιν ὀλίγον μέμικται, καὶ τῶν ἄλλων ἕκαστον ἄκρατόν ἐστί τε καὶ λέλεκται πρὸς τῶν Ἑλλήνων, ὅταν αὐτὸ καθ’ ἑαυτὸ μόνον ἀμιγὲς ἑτέρας οὐσίας ὑπάρχῃ. τὴν γοῦν ξανθὴν χολὴν ποτὲ μὲν ἔστιν ἰδεῖν παχεῖάν τε καὶ ἄκρως ξανθὴν ἐμουμένην καὶ κάτω διερχομένην, ἣν δὴ καὶ λεκιθώδη προσαγορεύουσιν ἔνιο ι, πολλάκις δὲ ὑγροτέραν καὶ ἧττον ξανθήν, ἥ τις ἰδιώτερον ὠχρὰ προσαγορεύεται, μεμιγμένον ἔχουσα δι’ ὅλης αὐτῆς φλεγματώδη χυμὸν λεπτὸν ἢ ὑδατῶδές τι περίττωμα. βούλεται τοίνυν ὁ Ἱπποκράτης μηδέτερον τῶν χυμῶν ἄκρατον εἶναι, μεμῖχθαι δ’ ἀλλήλοις πως αὐτούς. [10]

18b 166 ὁ μὲν γὰρ χολώδης ἄκρατος πολλὴν τὴν θερμασίαν, ὁ δὲ φλεγματώδης τὴν ψῦξιν ἐνδείκνυται. καὶ μέντοι καὶ παχυτέροις ὑπάρχει τοῖς ἀκράτοις εἶναι τῷ μὲν φλεγματώδει διὰ ψῦξιν οἱονεὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεπηγότι, τῷ δὲ χολώδει διὰ τὴν τῆς θερμασίας ὑπερβολὴν ἐξικμασμένῳ τε καὶ οἷον πεφρυγμένῳ. δύο γὰρ αἴτια ταῦτα τῶν παχυνομένων ἐστί, τὸ θερμὸν πάνυ καὶ τὸ ψυχρόν, ἐξικμάζον μὲν τὸ θερμόν, πηγνύον δὲ τὸ ψυχρόν. Εἰ δὲ εἴη τὸ ἐμούμενον πρασοειδὲς ἢ πελιδνὸν ἢ μέλα ν , ὅ τι ἂν ᾖ τουτέων τῶν χρωμάτω ν , νομίζειν χρὴ πονηρὸν εἶνα ι . Περὶ μὲν τοῦ πελιδνοῦ καὶ μέλανος χρώματος εἴρηται πρόσθεν, τοῦ δὲ πρασοειδοῦς νῦν πρῶτον ἐμνη μόνευσεν οὐκ ἔχοντος μὲν οἰκεῖον ὄνομα, συγχρωμένου δὲ τῇ τῶν πράσων προσηγορίᾳ, εἰ μὴ ἄρα τις ἔμπαλιν ἀπὸ τοῦ πρασοειδοῦς χρώματος ὠνομάσθαι φαίη τὸ πράσον, οὐκ ἀπὸ τοῦ πράσου τὸ πρασοειδές. [11]

18b 167 ἐπί τινων μὲν γὰρ εὔδηλος ἡ παραγωγὴ τῶν ὀνομάτων, ὡς γνωρίζεσθαι τό τε πρωτότυπον ὑπὸ τῶν γραμματικῶν ὀνομαζόμενον καὶ τὸ παρηγμένον ἀπ’ αὐτοῦ, καθάπερ ἐπὶ τοῦ γαλακτοειδοῦς χρώματος, ἐπί τινων δὲ οὐ δῆλον. ἔξεστι γὰρ λέγειν οὐκ ἀπὸ τοῦ φοίνικος ὠνομάσθαι τὸ φοινικοῦν, ἀλλ’ ἀπὸ τοῦ φοινικοῦ τὸν φοίνικα, καθάπερ γε καὶ τὸ κυανὸν οὐκ ἀπὸ τοῦ κυανοῦ μᾶλλον ἤπερ τὸ κυανοῦν ἀπ’ ἐκείνου καὶ ἡ ὤχρα δὲ καὶ τὸ ὠχρὸν χρῶμα τῆς αὐτῆς εἰσι συστοιχίας. ὤχραν δὲ εἴρηκα νῦν οὐ τὴν ὀξυνομένην φωνήν, ὥσπερ ἂν εἴποι τις ὠχρὸν μὲν εἶναι τὸν νεανίσκον, ὠχρὰν δὲ τὴν γυναῖκα, ἀλλὰ τὴν παροξυνομένην. ἔστι γὰρ εἶδός τι γῆς ἡ ὤχρα καὶ μάλιστά γε αὐτῆς ἡ Ἀττικὴ καλλίστη. ταυτὶ μὲν οὖν ἅπαξ εἰρήσθω μοι νῦν, ἀεὶ δὲ μέμνησο τοῦ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι τοσοῦτον, ὅσον εἰς σαφῆ δήλωσιν ὧν λέγομεν ἐξ αὐτῶν ἔστιν ὀνίνασθαι. [15]

18b 168 τὸ δ’ ἐπέκεινα τοῦδε περιττὸν ἡγοῦ, τὸν χρόνον εἰς τὴν τῶν βελτιόνων σπουδὴν κατατιθέμενος. γίνεται δή τις ἐν τῷ σώματι καθάπερ ὠχρὰ χολὴ κατὰ φύσιν ἐχόντων, οὕτω καὶ πρασοειδὴς ἑτέρα παρὰ φύσιν. καὶ φαίνεται αὕτη πολλάκις μὲν ἐν αὐτῇ τῇ γαστρὶ γεννωμένη διά τινων ἀπεψίαν ἐδεσμάτων ἢ λαχάνων, ὁποῖα καὶ τὰ τεῦτλά ἐστι καὶ τὰ κρόμμυα καὶ αἱ κράμβαι, φαίνεται δ’ ἐνίοτε καὶ χωρὶς τοῦ τοιοῦτόν τι προσενηνέχθαι τῷ λόγῳ τοῦ νοσήματος ἔν τε ταῖς φλεψὶ γεννᾶσθαι καὶ καταρρεῖν ἤτοι γε εἰς τὴν ἄνω κοιλίαν ἢ εἰς τὴν κάτω θερμασίαν γέ τινα παρὰ φύσιν ἐν τῷ σώματι δηλοῦσα καὶ περιττώματος ἰδιότητα τοιούτου τὴν κρᾶσιν, οἷος ὁ τῶν εἰρημένων λαχάνων ἐστὶ χυμός. Εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέε ι , ὀλέθριον κάρτα γίνετα ι . Εἴτε περὶ τῶν προειρημένων χρωμάτων, τοῦ πρασοειδοῦς καὶ πελιδνοῦ καὶ μέλανος, εἴρηται τὸ πάντ α, εἴτε καὶ περὶ τῶν ἄλλων σὺν αὐτοῖς, ὁπόσα χρώματά ἐστι παρὰ φύσιν, ἑκατέρως ὀλεθριώτατόν ἐστιν ἐνδεικνύμενον πολλὰς ἐν τῷ σώματι χαλεπὰς εἶναι διαθέσεις. [11]

18b 169 Τάχιστον δὲ θάνατον σημαίνει τὸ πελιδνὸν τῶν ἐμεσμάτω ν , εἰ ὄζοι δυσῶδε ς . Σηπεδόνα γὰρ ἐνδείκνυται μετὰ νεκρώσεως τὸ τοιοῦτον, εἴ γε μεμνήμεθα τῶν προειρημένων. Πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεις ὀδμαὶ κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμουμένοισι ν . Ἧι γὰρ ἂν διαθέσει μιχθῇ σηπεδών, χείρων ἑαυτῆς αὐτὴ γίνεται. Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευρὰς ταχέως τε ἀποπτύεσθαι καὶ εὐπετέω ς . [11]

18b 170 Τὸ μὲν ταχέως ἐν ἀρχῇ τῆς νόσου δηλοῖ, τὸ δ’ εὐπετέως ἀντὶ τοῦ ῥᾳδίως τε καὶ ἑτοίμως οἱ Ἕλληνες λέγουσι· συμβαίνει δὲ τοῦτο ταχέως τε καὶ ἀπόνως ἀναπτυόντων. τὸ γάρτοι ταχέως γίνεσθαι διττόν ἐστι, τὸ μὲν ἕτερον ὅλου τοῦ νοσήματος τὸν πρῶτον καιρὸν ἐνδεικνύμενον, τὸ δ’ ἕτερον τὸν ταῖς ἐνεργείαις ἐζευγμένον χρόνον. εὐπετὴς γὰρ ἀναγωγὴ πτυέλου τουτέστιν ἑτοίμη τε καὶ ῥᾳδία γίνεται, μήτ’ ὀδύνης ἰσχυρᾶς οὔσης κατὰ τὸν θώρακα (διακόπτει γὰρ αὕτη καὶ καταπαύει μεταξύ, πρὶν ἐκτελεσθῆναι γινομένην ἔτι τὴν τοῦ θώρακος ἐνέργειαν), ἀλλὰ μηδ’ ἀσθενοῦς ὑπαρχούσης τῆς δυνάμεως (ὀκλάζει γὰρ καὶ αὕτη μεταξὺ κατὰ τὴν ἐνέργειαν, ὡς ἡμιτελὲς ἀπολιπεῖν τὸ ἔργον). αὐτό τε τὸ ἀναγόμενον, ἐὰν μὲν ἰσχυρῶς ᾖ γλίσχρον, ἐμπλάττεται δυσαπολύτως τοῖς μορίοις ἀναφερόμενόν τε πολλάκις ἐνίσχεται προσκολλώμενον ταῖς σήραγξι τοῦ πνεύμονος, ὥσπερ γε καί, ἐὰν ἱκανῶς ᾖ παχὺ δυσχερῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναφερόμενον, ἐν χρόνῳ τε πλείονι κακοπαθεῖν ἀναγκάζει καί που καὶ σφηνοῦται κατά τινας τῶν στενοχώρων ὁδῶν, ὅθεν καὶ τὸ πνιγῆναί τισι συνέβη. [5]

18b 171 καὶ μὲν δὴ καὶ τὸ λεπτὸν ἱκανῶς ὡς ὑδατῶδες εἶναι μόγις ἀναπτύεται, περιρρέον ἐν κύκλῳ τῷ πνεύματι. τοῦτο γάρ ἐστι τὸ πρῶτον αἴτιον τῆς ἀναγωγῆς, ὅπερ καὶ προσεχὲς ὀνομάζουσι. διττὸν γὰρ τὸ πρῶτον αἴτιον, ὡς ἐν τοῖς Περὶ αἰτίων λόγοις διῄρηται, τό τε φαῦλον τῆς ὕλης καὶ τὸ τὴν ἀρχὴν τῆς κινήσεως ἔχον. ἡ μὲν οὖν ἀρχὴ τῆς κινήσεως ἐπὶ τῶν βηττόντων ἐκ τῆς τὸν θώρακα κινούσης δυνάμεώς ἐστιν· ἐδείχθη γὰρ τοῦτο ἐν ταῖς τῶν Συμπτωμάτων αἰτίαις. ἡ συστολὴ δὲ αὐτοῦ βιαίως γινομένη τὴν ἔξω φορὰν τοῦ πνεύματος ἐργάζεται σφοδράν, ἡ δὲ ταύτης σφοδρότης ἑαυτῇ συναναφέρει τὰ κατὰ τὰς σήραγγας τοῦ πνεύμονος, αἵπερ εἰσὶν ἀρτηρίαι τραχεῖαι. ὅταν μὲν οὖν ὅ τε θώραξ ἐνεργῇ ῥωμαλέως τό τε ἐν ταῖς σήραγξι τοῦ πνεύμονος ὑγρὸν ὑπάρχῃ μετρίως παχύ, ῥᾳδίως ἀναπτύεται, μηδετέρου δὲ ὄντος τοιούτου χαλεπῶς καὶ μόγις· εἰ δὲ τὸ μὲν εἴη τῶν εἰρημένων αἰτίων, τὸ δὲ οὐκ εἴη μεταξὺ τοῦ τ' ἀρίστου τρόπου καὶ τοῦ χειρίστου, τὴν κένωσιν τοῦ πτυέλου συμβήσεται γίνεσθαι. [15]

18b 172 καὶ ὅλως δὲ παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐπιτετάσθαι ἕκαστον τῶν αἰτίων ἢ ἐκλελύσθαι, τινὲς μὲν αὐτῶν ῥᾷον, ἔνιοι δὲ χαλεπώτερον ἀναπτύουσι. τί μὲν οὖν ἐστι τὸ εὐπετέως ἀναπτύεσθα ι, δοκῶ μοι δεδεῖχθαι σαφῶς τε ἅμα καὶ ἀληθῶς. εἰ δ' ἀληθές ἐστι τοῦτο, καθάπερ οὖν ἔστιν, ἀληθὲς ἂν εἴη καὶ τὸ ταχέω c. οὐ γὰρ τὸν ἐζευγμένον χρόνον αὐταῖς ταῖς βηξίν, ἀλλὰ τὸν πρῶτον τοῦ νοσήματος σημαίνει καιρόν, ὑπὲρ οὗ καὶ κατὰ τοὺς Ἀφορισμοὺς εἶπεν· "ἐν πλευριτικοῖσι πτύελον ἢν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου βραχύνει". ὡς εἴ γέ τις ἐπὶ τοῦ χρόνου τῆς ἐνεργείας ἀκούσειεν εἰρῆσθαι τὸ ταχέω c, ὅπερ ἐδείχθη κἀν τῷ εὐπετέως περιεχόμενον, διττῶς ἁμαρτήσεται τῷ τὸν μὲν τῶν χρόνων ἀναξίως εἰρῆσθαι δὶς ὑπ' αὐτοῦ, τὸν δὲ ἕτερον, οὗ κἀν τοῖς Ἀφορισμοῖς ἐμνημόνευσε, παραλελεῖφθαι καίτοι μεγίστην ἔχοντα δύναμιν. [15]

18b 173 ὅτι δ' οὐ διὰ ταῦτα μό νον, ἀλλὰ καὶ διὰ τὰ συνεχῶς εἰρημένα κατὰ τὴν ἑξῆς ῥῆσιν οὕτως ἀκούειν δεῖ, δειχθήσεταί σοι διὰ τῆς κατ' ἐκείνην αὐτὴν ἐξηγήσεως. Συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλ ῳ . Τὸ ἰσχυρῶς ἐπὶ τὸ συμμεμιγμένον, οὐκ ἐπὶ τὸ ξανθὸν φέρεσθαι χρή, ὡς εἰ καὶ οὕτως εἴρηται φαίνεσθαι δὲ χρὴ τὸ ξανθὸν συμμεμιγμένον ἰσχυρῶς τῷ πτυέλ ῳ· τό γε μὴν ἰσχυρῶς αὐτὸ τῷ 'λίαν' καὶ 'μάλιστα' σημαίνει ταὐτόν. ὀλίγον μὲν οὖν ἔμπροσθεν εἶπεν "ἔμετος δὲ ὠφελιμώτατος φλέγματός τε καὶ χολῆς συμμεμιγμένων μάλιστα", νυνὶ δὲ ἐπὶ τῶν πτυομένων τὸ ἰσχυρῶς προσέθηκεν. ὅτι δὲ ὀρθῶς ἐξηγησάμεθα, τῆς ἑξῆς ῥήσεως ἀκούσας μαθήσῃ. Εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο ξανθὸν ἐὸν ἢ πυρρὸν ἢ πολλὴν βῆχα παρέχον ἢ μὴ ἰσχυρῶς ξυμμεμιγμένον κάκιον γίνετα ι . [12]

18b 174 Κατὰ ταύτην τὴν ῥῆσιν ὑπεσχόμην ἀποδείξειν ἀμφοτέρας τὰς ἔμπροσθεν ἐξηγήσεις ἀληθεῖς τήν τε τοῦ 'ταχέως' καὶ τὴν τοῦ 'ἰσχυρῶς' διάνοιαν. ἐπὶ γάρτοι τὰ ἐναντία μεταβάς, ὡς εἴωθε, τῷ μὲν 'ταχέως' ἀντέθηκε τὸ εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο, τῷ δὲ 'συμμεμιγμένον ἰσχυρῶς' τὸ μὴ ἰσχυρῶς συμμεμιγμένον, ἀντέθηκε δὲ καὶ τῷ "εὐπετῶς πτυομένῳ" τὸ πολλὴν βῆχα παρέχον (τὸ γὰρ ἀνωδύνως τε καὶ ταχέως ἀναφερόμενον ὀλίγης δεῖται βηχός). εἴρηται δέ μοι πρόσθεν ἄμεινον εἶναι μεμῖχθαι πως ἀλλήλοις τὰ κενούμενα καὶ μηδὲν εἰλικρινῶς ἄκρατον ἐκκρίνεσθαι· λέλεκται δὲ καὶ περὶ τοῦ δεῖν ἐπιφαίνεσθαι ταχέως ἐν πλευριτικοῖς τὰ πτύσματα κατά τε τὰ Περὶ κρίσεων καὶ τῶν Ἀφορισμῶν ὑπομνήματα. Τό τε γὰρ ξανθὸν ἄκρητον ἐὸν κινδυνῶδε c , τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον ἀλυσιτελέ c . [14]

18b 175 Οὐκ ἄλλο τι νῦν λέγει τοῦ πρόσθεν εἰρημένου. τὸ γὰρ 'μὴ συμμεμιγμένον' ἄκρατόν ἐστι καὶ γίνεται ξανθὸν μὲν διὰ τὴν ξανθὴν δηλονότι χολήν, λευκὸν δὲ καὶ γλίσχρον καὶ στρογγύλον

διὰ φλέγμα κατωπτημένον. ἐπιδέδεικται δ’ ἡμῖν πολλάκις ὡς τὰ κατασκήπτοντα μέλεσί τισι ῥεύματα καὶ φλεγμονάς τε καὶ ἐρυσιπέλατα καὶ οἰδήματα καὶ σκίρρους καὶ καρκίνους ἐργαζόμενα παρὰ τὰς διαφορὰς τῶν ἐπικρατούντων ἐν αὐτοῖς χυμῶν εὐήθη τε καὶ κακοήθη γίνεται. τὰ μὲν γὰρ αἱματώδη τε καὶ φλεγματώδη μέτρια, τὰ δὲ τῆς ξανθῆς ἢ μελαίνης χολῆς χαλεπά. διαβρωτικὰ μὲν γάρ ἐστιν ἄμφω τῶν σωμάτων καὶ τοῦτ’ αὐτοῖς κοινόν, ἴδιον δὲ ἑκατέρου τοῦ μὲν τῆς ξανθῆς χολῆς τὸ πυρετοὺς ὀξεῖς ἐπιφέρειν, τοῦ δὲ τῆς μελαίνης τὸ δύσλυτον ἐργάζεσθαι τὴν διάθεσιν. ἅτε γὰρ παχὺς ὢν καὶ γεώδης ὁ χυμὸς οὗτος ἐμφράττεται τοῖς ὑποδεξαμένοις μέλεσιν αὐτόν, ὡς δυσέκνιπτον εἶναι.

18b 176 Κακὸν δὲ καὶ χλωρόν τε ἐὸν κάρτα καὶ ἀφρῶδε c . Εἴρηται πολλάκις ὅτι τὸ χλωρὸν ἐπί τε τοῦ ὠχροῦ λέγειν εἴωθε καὶ τοῦ καλουμένου πρός τινων ἰώδους. ὁπότερον δ’ ἂν αὐτῶν ἄκρως ᾖ τοιοῦτον, ὅτι χαλεπόν ἐστιν, οὐδὲν ἔτι δέομαι λέγειν εἰρηκὼς ἤδη περὶ πάντων τῶν ἀκράτων χυμῶν. πλὴν γὰρ τοῦ αἵματος ὅστις ἂν αὐτῶν ἄκρατος ᾖ, μοχθηρὰν ἐνδείκνυται διάθεσιν ἐπὶ θερμότητι φλογώδει τὴν γένεσιν ἔχων, ὁ μὲν ξανθὸς ἐξωπτημένης αὐτοῦ τῆς ὀρρώδους ὑγρότητος, ἧς ἐπιμεμιγμένης ὠχρὸς ἐφαίνετο, ὁ δὲ ἰώδης ἐξ ὑπεροπτήσεως ταύτης, ὁ δὲ μέλας ἤτοι τῆς αὐτῆς ὑπεροπτηθείσης, ἥπερ δὴ κακίστη τε καὶ διαβρωτικωτάτη γίνεται μέλαινα χολὴ ἢ τοῦ παχέος αἵματος ὁμοίως ξηρανθέντος ἢ λόγῳ νεκρώσεώς τε καὶ ψύξεως.

18b 177 ταῦτα οὖν χρὴ μεμνημένον σε μὴ πολλάκις ἀξιοῦν ἀκούειν ὑπὲρ τῶν αὐτῶν τὰ αὐτά. τό γε μὴν ἀφρῶδες πτύελον (εἴρηται γὰρ καὶ τοῦτο ἐπὶ τέλει τῆς ῥήσεως) ἐκ φλεγματικῆς τε ἅμα καὶ ἀερώδους οὐσίας ἐστὶ συμμιγές· ἐκ τούτων γάρτοι καὶ ἡ γένεσίς ἐστιν ἀφρῷ παντὶ κατὰ μὲν τὴν θάλατταν ὑπὸ βιαίας ἀνέμων ἐμπτώσεως εἰς πολλὰ καὶ μικρὰ μόρια θραυομένου τοῦ ὕδατος, ἐπὶ δὲ τῶν ἑψομένων διὰ τὸ πλῆθος τῆς θερμασίας. κοινὸν δὲ ἐν ἀμφοῖν ἐστι γένεσις πομφολύγων σμικρῶν τε καὶ πολλῶν· γίνονται δὲ αὗται δύσλυτοι μάλιστα μὲν ἀμφοῖν συνελθόντοιν ἀέρος τε θολεροῦ καὶ ὁμιχλώδους ὑγρότητος γλίσχρον ἐχούσης τι καὶ παχύ· τὸ γὰρ λεπτὸν ὑγρὸν οἷόν πέρ ἐστι τὸ ἀκριβῶς ὕδωρ, ὅταν ἀέρα περιλάβῃ καθαρόν, οὐ στέγει μέχρι πλείονος, ἀλλ’ αὐτίκα ῥαγεισῶν τῶν πομφολύγων εἰς τὴν ἑαυτοῦ χώραν ἀναθεῖν ἐπιτρέπει. διὰ τοῦτο καὶ κατὰ τὴν θάλατταν ὁ ἀφρὸς ἐν τάχει λύεται, τὸ δὲ παχὺ καὶ γλίσχρον ὑγρόν, ὅταν ὡς εἴρηται θολερὰν καὶ ὁμιχλώδη τινὰ οὐσίαν ἔνδον ἑαυτοῦ κατακλείσῃ, μέχρι πλείστου κατέχει μήτ’ ἐκείνης ἐπει γομένης ἄνω, καθάπερ ὁ καθαρὸς ἀήρ, αὐτό τε δύσρηκτον ὑπάρχον.

18b 178 ὥσπερ γὰρ ἡ γένεσις ταῖς πομφόλυξιν ἐξ ὑγρᾶς οὐσίας γίνεται κατακλειούσης ἔνδον ἑαυτῆς ἀέρα, κατὰ τὸν αὐτὸν τρόπον ἡ λύσις αὐταῖς ἐν τῷ ῥαγῆναι τὴν ὑγρὰν οὐσίαν ἐστί. ῥήγνυται μὲν οὖν ῥᾳδίως ὑπὸ τῆς ἄνω φορᾶς τοῦ λεπτοῦ πνεύματος, οὐ ῥήγνυται δέ, ὅταν μήτε λεπτὸν ᾖ μήτε ἄνω φέρηται. τοιοῦτον δ’ ἐστὶ τὸ ὁμιχλῶδες οὔτ’ ἀναθέον εἰς ὕψος οὔτε λεπτὸν ὄν, ἀλλ’ ἱκανῶς ὑγρὸν ὡς βαστάζειν δύνασθαι τὸ περιταθὲν ὑγρὸν ἑαυτῷ. διὰ τοῦτ’ οὖν οὐδ’, ὅταν ὕδωρ ἕψηται, δύσλυτος γίνεται πομφόλυξ, ἀλλ’ ἐπειδὰν ᾖ παχὺς ἢ λιπαρὸς 〈ὁ〉 χυμός, ἐξ οὗ τό τε γεννώμενον πνεῦμα φυσῶδές τε καὶ ἀτμῶδές ἐστι τό τε ἐπιπολῆς τοῦ λέβητος ὑγρὸν ἐλαιῶδές τε καὶ λιπαρὸν καὶ γλίσχρον. οὕτως οὖν ἀναγκαῖόν ἐστι καὶ κατὰ τὰ τῶν ζῴων σώματα γεννᾶσθαι τὸν ἀφρόν. οὐ γὰρ δὴ σφοδράς γέ τινας ἀνέμων ὥσπερ ἐν τῇ θαλάττῃ καταιγίδας ὑπολαβεῖν ἐγχωρεῖ, θερμασίαν μέντοι πυρώδη συντήκουσάν τε ἅμα καὶ πνεῦμα φυσῶδες ἐργαζομένην, μονονοὺ καὶ αὐτοῖς τοῖς ὀφθαλμοῖς ἐπὶ πολλῶν ἔστιν ἀρρώστων θεάσασθαι.

18b 179 ταῦθ’ ἡμῖν μὲν αὐτάρκως εἰρήσθω. καὶ σοὶ δὲ μνημονευέσθω περὶ γενέσεως ἀφρωδῶν εἴτ’ ἐπὶ πτυσμάτων εἴτε διαχωρημάτων εἴτε οὔρων (ἐφίσταται γάρ ποτε καὶ τούτοις ἡ καλουμένη λάμπη) πρὸς τὸ μηκέτι ποθεῖν αὖθις ἀκούειν ὑπὲρ τῶν αὐτῶν. Εἰ δὲ εἴη οὕτως ἄκρητο ν , ὥστε καὶ μέλαν φαίνεσθα ι , δεινότερόν ἐστι τοῦτο ἐκείνο υ . Εἴρηται πρόσθεν ἤδη περὶ τῶν ἀκράτων ἁπάντων κοινῇ καὶ περὶ τῶν μελάνων ἰδίως καί, εἰ μὴ μέμνησαι τῶν εἰρημένων, αὖθις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνάγνωθι τὰ αὐτά. βέλτιον γὰρ τοῦτο τοῦ πολλάκις ἐμὲ γράφειν περὶ τῶν αὐτῶν τὰ αὐτά. Κορύζας δὲ καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πνεύμονα νοσήμασι κακὸν καὶ προγεγονέναι καὶ ἐπιγενέσθα ι . [12]

18b 180 ἀλ λ ’ ἐν τοῖσιν ἄλλοισι νοσήμασι τοῖσι θανατώδεσιν οἱ πταρμοὶ λυσιτελέε c . Τὸ διὰ τῶν ῥινῶν ἐκκρινόμενον ὑγρὸν λεπτὸν καὶ ἄπεπτον ὀνομάζειν εἰώθασι κόρυζαν οἱ παλαιοὶ πάντες ἰατροὶ καθάπερ τὸ δι’ ὑπερῴας τοιοῦτο κατάρρουν. καὶ θαυμάζω γε, πῶς ὁ Ἱπποκράτης οὐ τοὺς κατάρρους, ἀλλὰ τοὺς πταρμοὺς ταῖς κορύζαις προσέθηκεν. αἱ μὲν γὰρ κόρυζαι καθ’ ἕνα λόγον εἰσὶ μοχθηραὶ τοῖς τοιούτοις ἐπιγινόμεναι νοσήμασιν, οἱ κατάρροι δὲ κατὰ δύο. καὶ λέλεκται πολλάκις ἡμῖν ἔμπροσθεν ἔνια μὲν αἴτια μοχθηρὰ κατὰ συμβεβηκὸς ἐν τοῖς κακοῖς ἀριθμεῖσθαι σημείοις, ἄλλα δ’ ἄντικρυς (αὐτὸ δὴ τοῦτο μόνον εἶναι σημεῖα μοχθηρά, μηδὲν μὲν αὐτὰ κακὸν ἐργαζόμενα, δηλοῦντα δέ τινα χαλεπὴν διάθεσιν, ἐφ’ ᾗ γέγονεν), ἄλλα δὲ πρὸς τούτοις εἶναι τρίτα κατ’ ἄμφω μοχθηρὰ καὶ ὡς σημεῖα καὶ ὡς αἴτια, σημεῖα μέν, ὅταν ὑπὸ χαλεπῶν γένηται διαθέσεων, αἴτια δέ, ὅταν αὐτὰ πάλιν ἑτέρας ἐργάζηται μοχθηρὰς διαθέσεις. [10]

18b 181 ἐπιγίνονται μὲν οὖν κατάρροι καὶ κόρυζαι τοῖς περὶ τὸν πνεύμονα νοσήμασι θερμοὺς ἀτμοὺς δεχομένης τῆς κεφαλῆς· ἀδικεῖται δ’ οὐχ ὑπὸ ἀμφοτέρων ὁ πνεύμων, ἀλλ’ ὑπὸ τῶν κατάρρων μόνων. ἔξω γὰρ ἐκκρίνεται τὸ διὰ τῶν ῥινῶν φερόμενον ἐν ταῖς κορύζαις· διὸ δὴ καὶ χείρους εἰσὶν οἱ κατάρροι τῶν κορυζῶν. οὐκ οἶδ’ οὖν ὅπως ἐν τῷ προκειμένῳ λόγῳ παρελείφθησαν ὑπὸ τοῦ Ἱπποκράτου c, εἰ μή τι ἄρα συνεπινοεῖν ἡμᾶς ἀξιοῖ ταῖς κορύζαις αὐτούς. ἴσως δὲ εὐθὺς ἐν ἀρχῇ πρὸς τοῦ βιβλιογράφου παρελείφθησαν· μυρία γὰρ ὁρῶ γινόμενα καὶ νῦν τοιαῦτα. κορύζας μὲν οὖν καὶ κατάρρους ἀεὶ χρὴ νομίζειν οὐκ ἀγαθὰ σημεῖα προγινομένους μὲν ὡς ἂν πληροῦντας τὸν πνεύμονα κακοχυμίας, προήκοντος δὲ τοῦ νοσήματος ἐπιφαινομένους ὡς ἂν τήν τε τοῦ πνεύμονος διάθεσιν ἐνδεικνυμένους μεγάλην ὑπ’ αὐτῆς τε τὴν κεφαλὴν βεβλάφθαι σημαίνοντας. οἵ γε μὴν πταρμοὶ ταῖς κορύζαις ἕπονται τὰ πολλά. [15]

18b 182 καὶ μέντοι καὶ σείοντες σφοδρῶς ὅλον τὸν θώρακα λυμαίνονταί τι καὶ τὸν πνεύμονα, ἐν δὴ τοῖς ἄλλοις νοσήμασιν οὐ συνεισβάλλοντες οὐδέποτε, καθάπερ οὐδ’ ἄλλο οὐδὲν σύμπτωμα, προήκουσι δὲ ἐπιφαινόμενοι σωτηρίαν σημαίνουσι, κἂν θανατώδης, ὅσον ἐπὶ τοῖς ἄλλοις σημείοις, ἡ νόσος ὑπάρχῃ. πέψεώς τε γάρ εἰσι γνωρίσματα καὶ ῥώμης τῆς κατὰ τὸν ἐγκέφαλον ἀποκριτικῆς δυνάμεως, ὑφ’ ἧς εἰς τὴν ῥῖνα τῶν φυσωδῶν πνευμάτων ἐκκρινομένων ἅμα τισὶν ὑγρότησιν ἐνίοτε μὲν αἰσθηταῖς τε καὶ σαφέσιν, ἐνίοτε δὲ ἀμυδραῖς τε καὶ δυσοράτοις οἱ πταρμοὶ γίνονται. Αἵματι δὲ συμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν ἐν τοῖσι περιπνευμονικοῖσι νοσήμασιν ἐν ἀρχῇ μὲν τῆς νούσου πτυόμενον περιεστικὸν κάρτα ὠφελέε ι . ἑβδομαίῳ δ ’ ἐόντι ἢ παλαιοτέρῳ ἧσσον ἀσφαλέ c . Κοινὸς καὶ οὗτος ὁ λόγος ἐστὶν ἐπὶ πασῶν φλεγμονῶν ἤδη πολλάκις ἡμῖν ἐν πολλοῖς εἰρημένος ὡς τοῦ κατασκήψαντος εἰς τὰ φλεγμαίνοντα μόρια χυμοῦ διϊδροῦται τὸ λεπτότερον, ὅταν ἡ περιέχουσα τὸ φλεγμαῖνον ἐπιφάνεια μὴ πυκνὴ τὴν φύσιν ὑπάρχῃ καθάπερ τουτὶ τὸ ἐκτὸς δέρμα. [5]

18b 183 καὶ διὰ τοῦτ’, ἐάν τε κατὰ τὸ στόμα φλεγμονὴ γένηταί τις, ἐάν τε κατὰ τοὺς πόρους τῆς ῥινὸς ἢ τοὺς ὀφθαλμούς, ἀπορρέουσιν αὐτῆς ὑγρότητες λεπταί, παραπλήσιαι τοῖς ἐπὶ τῶν ἑλκῶν ἰχῶρσιν. οὕτως οὖν καὶ ὁ πνεύμων φλεγμήνας ἀποκρίνει τινὰς ὑγρότητας εἰς τὰς ἐντὸς ἑαυτοῦ χώρας κενάς (αἵ πέρ εἰσιν αἱ τῶν τραχειῶν ἀρτηριῶν), αἵ τινες ὑγρότητες ὑπὸ τῶν βηχῶν ἀναφερόμεναι πτύονται, τὰ γνωρίσματα φέρουσαι τοῦ τὴν περιπνευμονίαν ἐργασαμένου ῥεύματος (ἐκείνου γάρ εἰσιν οἷον ὀρρός τις). ἔσονται τοιγαροῦν, ἐὰν μὲν χολώδης ἱκανῶς ὁ χυμὸς ᾖ, ξανθαὶ μόνον, ἐὰν δὲ αἱματώδης, ἐρυθραί, ἐὰν δ’ ἐξ ἀμφοῖν μικτός, ἐρυθραί θ’ ἅμα καὶ ξανθαί. αὗται μὲν οὖν αἱ ὑγρότητες ἀγαθαί, βραχὺ δ’ ἀπολείπονται αὐτῶν, καθ’ ἃς ἀναπτύουσιν εἰλικρινὲς αἷμα καὶ τάχα τινὰ καταπλήξεται τὸ σημεῖον, ὥσπερ ὅταν ἕλκος ἐν πνεύμονι γένηται ῥαγέντος ἀγγείου (καὶ γὰρ καὶ τότε πτύουσιν αἵματος) ἀλλὰ τὸ κατά τινας

τῶν περιπνευμονικῶν ἐπιφαινόμενον αἷμα παντελῶς ὀλίγον ὅμοιον γίνεται τῇ κατὰ διαπήδησιν ὀνομαζομένῃ πρὸς τῶν ἰατρῶν αἵματος πτύσει. [5]

18b 184 γίνεται γὰρ καὶ τοῦτο τὸ σύμπτωμα κατασκήψαντος μὲν αἵματος εἰς τὸ στόμα λεπτοῦ τὴν σύστασιν, ἀραιῶν δὲ τῶν οὔλων ὑπαρχόντων, ὡς μὴ στέγειν αὐτό. καὶ μέντοι καὶ κατὰ τὴν φάρυγγα διὰ τὴν αὐτὴν αἰτίαν γίνεταί ποτε τοιαύτη τις ἔκκρισις αἵματος ὀρρώδους. οὐδὲν οὖν ἄτοπόν ἐστιν οὐδέ, ὅταν ἐν τῷ πνεύμονι γένηταί τι τοιοῦτον. διαγνώσῃ δ’ αὐτὸ ῥᾳδίως ἔκ τε τῆς συστάσεως τοῦ αἵματος καὶ αὐτοῦ τοῦ πλήθους. οὔτε γὰρ παχὺ τὴν σύστασίν ἐστι τὸ οὕτως ἀναπτυόμενον οὔτε πολύ. χρὴ δὲ μὴ παραμένειν τὸ σύμπτωμα μέχρι τῆς ἑβδόμης ἡμέρας, ἀλλὰ μάλιστα μὲν ἐντὸς τῆς πρώτης τετράδος ἀλλοιωθῆναι πεττόμενον, εἰ δὲ μή, ἀλλὰ πάντως γε πρὸ τῆς ἑβδόμης. εἰ δὲ διαμένει τοιοῦτον οἷον ἐξ ἀρχῆς ἦν, εὔδηλον ὡς εἰς χρόνον πλείονα δηλοῖ τὸ νόσημα προήξειν. ὅπου γὰρ οὐδέπω μέχρι τῆς ἑβδόμης ἤρξατο πέττεσθαι, χρονιωτάτην ἔσεσθαι δηλοῖ τὴν τελείαν πέψιν. [15]

18b 185 ἐν δὲ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν καὶ τῶν ἄλλων ἀτόπων εἴωθε συμπίπτειν, ὅσα διά τε τὸν κάμνοντα καὶ τοὺς ὑπηρετουμένους αὐτῷ τά τ’ ἄλλως ἔξωθεν ἀδοκήτως γινόμενα συμβαίνει. καὶ μέντοι καὶ διὰ τὸν ἰατρὸν αὐτὸν ἐνίοτε, κἂν τούτων μηδὲν γένηται, κίνδυνός ἐστι πρὸ τοῦ πεφθῆναι τὸ νόσημα καταλυθῆναι τὴν δύναμιν. διὰ τοῦτ’ οὖν ἧσσον ἀσφαλὲς εἶναί φησι διαμένειν τὰ τοιαῦτα πτύσματα μέχρι πλειόνων ἡμερῶν. Πάντα δὲ τὰ πτύελα πονηρά ἐστι ν , ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύ η , κάκιστα δὲ τὰ μέλαν α , ὡς διαγέγραπτα ι . τὰ δὲ παύοντα τὴν ὀδύνην πάντα ἀμείνω ἀναπτυόμεν α . Κοινὸς καὶ οὗτος ὁ λόγος ἐπὶ πάντων ἐστὶ τῶν ἐκκρινομένων ἐκ τοῦ σώματος, ὑπὲρ οὗ καὶ κατ’ ἄλλα βιβλία καὶ κατὰ τοὺς Ἀφορισμοὺς εἶπεν αὐτός, ὡς τὴν εὐφορίαν μάλιστα θεάσασθαι χρή. [13]

18b 186 πολλάκις γὰρ ἡ φύσις ἴσχυσε νικήσασα μοχθηρὰν διάθεσιν ἐκκαθᾶραι τὸ σῶμα κἀν τούτῳ καταπλήττονται πολλοὶ θεώμενοι τὴν κακίαν τῶν ἐκκρινομένων οὐκ εἰδότες, εἴτε συμπτώματος λόγῳ γίνεται τὸ τοιοῦτον εἴτε τῆς φύσεως ὠθούσης ἔξω τὰ μοχθηρά. κατὰ μὲν οὖν τοὺς Ἀφορισμοὺς τὴν τῆς εὐφορίας προσηγορίαν ἔγραψε μόνην, ἐνταυθοῖ δὲ τὴν ἀνωδυνίαν ἐνεδείξατο, δι’ ἣν ἐπαινεῖ τὰ παύοντα τὴν ὀδύνην πτύσματα, μετ’ ὀλίγον δὲ πάνθ’ ἑξῆς ἐρεῖ τὰ γνωρίσματα τῶν ἐπὶ τὸ βέλτιον ἰόντων νοσημάτων, ἃ τῷ τῆς εὐφορίας ὀνόματι περιέλαβε. καὶ μέντοι καὶ κατωτέρω κελεύει τῶν εἰρημένων ὑπ’ αὐτοῦ σημείων ἁπάντων ἀκριβῶς ἐξητακέναι τὰς δυνάμεις, ὅπως ἀλλήλοις αὐτὰ παραβάλλων τις ἱκανὸς ᾖ στοχάζεσθαι τοῦ μεγέθους τῆς ἐπὶ τὸ χεῖρόν τε καὶ βέλτιον ὅλου τοῦ νοσήματος ῥοπῆς, οἷόν περ κἀν τῷδε τῷ λόγῳ τῷ νῦν ἡμῖν προκειμένῳ πεποίηκεν αὐτός· εἰ γὰρ ἐπὶ τοῖς πτυέλοις αἱ ὀδύναι μένοιεν, οὐκ ἀγαθὸν τὸ σημεῖον. οὐ μὴν ἀρκέσει γέ σοι μόνον τοῦτο γνῶναι πρὸς ἀκριβῆ τοῦ μέλλοντος ἔσεσθαι πρόγνωσιν, ἀλλὰ θεάσασθαι χρὴ καὶ τὰ ἄλλα συμπτώματα. [15]

18b 187 τοῦτο γὰρ ἐνεδείξατο τῶν μελάνων πτυσμάτων μνημονεύσας. ὄντος γοῦν κοινοῦ σημείου τοῦ μὴ παύεσθαι τὴν ὀδύνην, εἰ μὲν ὠχρὸν εἴη τὸ ἐπτυσμένον ἢ ἐρυθρόν, ἧττόν ἐστι κινδυνῶδες, εἰ δὲ μέλαν, ὀλεθριώτατον, ὥστε ἅπαντα ἐπισκεψάμενος, οὐ μόνον τὰ εἰρημένα, κεφάλαιον ἓν ἐξ αὐτῶν ἀθροίσεις ἀκριβοῦς προγνώσεως. καὶ αὐτὸς δὲ ἐφεξῆς ὁ Ἱπποκράτης ἁπάντων τῶν ἀγαθῶν τε καὶ κακῶν σημείων ἔγραψε κατάλογον ἀναμιμνήσκων τῶν προειρημένων. Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύεται μήτε πρὸς τὴν τῶν πτυέλων κάθαρσιν μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ φαρμακείας καὶ διαίτα ς , εἰδέναι δεῖ ἐκπυήσοντ α . Ὅσα τῶν ἀλγημάτων ἐκ τῶν κατὰ θώρακα καὶ πνεύμονα χωρίων οὐ παύεται πρὸς τὰ βοηθήματα, καὶ τοῦτ’ ἔχει μόνον ἄτοπον οὐδενὸς ὀλεθρίου συνόντος ἑτέρου γνωρίσματος ἐκπυήσειν αὐτὰ προσδοκᾶν· μέσα γάρ πώς ἐστι ταῦτα τῶν τε λυομένων ἐν τάχει καὶ τῶν ἀνιάτων. [14]

18b 188

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τῶν δὲ ἐμπυημάτων ὅσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται ὀλέθρια κάρτα εἴ τ ’ ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύοιτο εἴ θ ’ ὁμο ῦ . Τῶν ἐν τοῖς φανεροῖς μέρεσι τοῦ σώματος ἐκπυϊσκόντων ὅσα τοιαῦτ’ ἐστίν, ὡς ἐν μέρει μέν τινι πῦον ἔχειν, ἐν μέρει δ’ εἶναι τὸ λοιπόν, οὐδὲν εὐΐατόν ἐστιν. εἰ δὲ καὶ πρὸς τῷ μηδέπω πῦον ἔχειν ἔτι καὶ κακόηθές τι σημεῖον αὐτοῖς συνείη, πολὺ μᾶλλόν ἐστι μοχθηρά. τούτων δ’ ἔτι πολὺ μᾶλλον ὑποληπτέον εἶναι μοχθηρὰ τὰ κατὰ τοὺς κυρίους τόπους γινόμενα.

18b 189 δηλοῦται γὰρ ἀγριώτατός τις ὢν ὁ λυπῶν χυμός, ὅπου τῆς φύσεως ἐνδειξαμένης ὅπως ἔχει τῆς εἰς τὸ πέττειν παρασκευῆς, οὐδὲν ὅλως εἶξεν αὐτῇ. Μάλιστα δ έ , ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα ἀπὸ τουτέου τοῦ πτυέλου ἑβδομαίου ἐόντος τοῦ νοσήματο c . Καὶ τοῦτο κοινὸν ἁπάντων ἐστὶ τῶν ἐν ταῖς κρισίμοις ἡμέραις γινομένων. εἰς γὰρ τὸ βέβαιον τῆς προγνώσεως ἡ κρίσιμος συντελεῖ, πότερον δ’ ἀγαθόν ἐστιν ἢ κακὸν τὸ γινόμενον, ἐξ ἄλλων τεκμηρίων ἡ διάγνωσις. καὶ γὰρ ἐάν θ’ ἱδρὼς γένηται κατὰ τὴν ἑβδόμην ἡμέραν, ἐάν τε διαχώρησις γαστρός, ἐάν θ’ αἱμορραγία, βελτίονα μὲν ἐργασάμενα τὸν κάμνοντα τῶν ἀγαθῶν ἐστι σημείων, χείρονα δὲ τῶν κακῶν. καὶ πιστῶς γε δηλοῖ τούτων ἑκάτερον, οὐχ ὡς εἰ κατ’ ἄλλην ἡμέραν ἐγένετο.

18b 190 γέγραπται δέ μοι περὶ τούτων ἐπὶ πλεῖστον ἔν τε τοῖς Περὶ κρισίμων ἡμερῶν καὶ τοῖς Περὶ κρίσεων, ἐν οἷς χρὴ προγεγυμνάσθαι τὸν βουλόμενον ἀκριβῶς παρακολουθῆσαι τοῖς ὑφ’ Ἱπποκράτους λεγομένοις. Ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖο ν , ἢν μή τι ἐπιγένηται αὐτῷ ἀγαθό ν . Ἔργῳ τὴν τούτων ἀλήθειαν μεμαθήκατε προλέγοντος ἐμοῦ πειραθέντες, ὥστε προσέχειν ὑμᾶς χρὴ τὸν νοῦν τοῖς λεγομένοις ὑφ’ Ἱπποκράτου c, μὴ τοιαῦτα νομίζοντας αὐτὰ ταῖς δυνάμεσιν ὑπάρχειν, ὁποῖα τοῖς πολλοῖς τῶν ἰατρῶν γέγραπται μέχρι γραμμάτων καὶ λόγων τὸ πιθανὸν ἔχοντα, τοῖς δ’ ἐπὶ τῶν νοσούντων ἔργοις ἐξελεγχόμενα. πρὸς γάρτοι τὸν εἰρημένον ὑπ’ αὐτοῦ σκοπὸν ὄντα μέσον ἁπάντων τῶν ἄλλων ἀγαθῶν τε καὶ κακῶν ἀποβλέπων δυνήσῃ προλέγειν τὴν ἡμέραν, ἐν ᾗ τεθνήξεταί τις. ὑποκείσθω γὰρ ὁ κάμνων ἑβδομαῖος ἐπτυκὼς τὸ πυῶδες, οὐ μὴν μόνον οὐδὲ δι’ ὅλης τῆς ἡμέρας ἐφεξῆς, ἀλλ’ ἤτοι σὺν αὐτῷ τὸ χολῶδες ἢ μόνον ἐφεξῆς ἐκεῖνο χωρὶς τοῦ πυώδους.

18b 191 ἔστω δ’ αὐτῷ καὶ τἄλλα πάντα μέσα ἀπό τε τῆς ἡλικίας καὶ τῆς φύσεως καὶ τῆς ὥρας καὶ τῆς χώρας καὶ τῆς οἰκείας δυνάμεως, ὡς μήτ’ ἰσχυροτάτην εἶναι τὴν δύναμιν μήτ’ ἀσθενεστάτην, ὡσαύτως δὲ καὶ τὴν κρᾶσιν αὐτοῦ τοῦ κάμνοντος μήτε τὴν εὐκρατοτάτην εἶναι μήτε τὴν δυσκρατοτάτην. οὕτω δὲ καὶ ὥραν καὶ χώραν καὶ κατάστασιν καὶ ἡλικίαν τοῦ κάμνοντος ἐν τῷ μέσῳ τετάχθαι τῶν ἀρίστων τε καὶ χειρίστων ὑποθώμεθα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἑκάστου γένους σημείων ὑπάρχειν ὑποκείσθω τῷ κάμνοντι τὰ μέσα. τοῦτον ἔλπιζε τεθνήξεσθαι τεσσαρεσκαιδεκαταῖον ὡς ταύτης μέσης οὔσης προθεσμίας τοῦ θανάτου. προσγενομένων δὲ σημείων ἀγαθῶν μὲν ἐπὶ πλείονα χρόνον ἐκταθήσεσθαι τὴν προθεσμίαν τοῦ θανάτου, κακῶν δὲ θᾶττον ἢ τεσσαρεσκαιδεκαταῖον τεθνήξεσθαι. τίνα δέ ἐστι τὰ ἀγαθὰ καὶ τίνα τὰ κακά, διῆλθεν αὐτὸς ἐφεξῆς τὰ μὲν ὀνομαστί, τὰ δὲ ἐπὶ κεφαλαίων. ἀλλὰ σύ γε μηδὲ περὶ τούτων ἀκούσῃς ἁπλῶς ὡς ὁμοτίμων ἁπάντων, ἀλλ’ ἀναμνησθεὶς ὧν τε αὐτὸς ἔγραψε καὶ ὧν ἡμεῖς προσεθήκαμεν, εἴς τε τὸν ἀριθμὸν αὐτῶν ἀπόβλεπε καὶ τὴν δύναμιν, ὅπου μὲν αὐτὸς εἶπε ‘σωτήριον κάρτα‘ καὶ ‘ὀλέθριον κάρτα‘ τῆς πρώτης τοῦτο δυνάμεως τιθεὶς τὸ μὲν ἐν τοῖς ἀγαθοῖς, τὸ δὲ ἐν τοῖς κακοῖς.

18b 192 ὡσαύτως δὲ καὶ ὅπου τὸν θάνατον ‘ὑπόγυον‘ ἔφησεν ‘ὑπάρχειν‘ ἢ ‘θανατωδέστατα‘ προσέγραψεν, οὐχ ἁπλῶς εἶπε ‘θανατώδη‘. καὶ μὲν δὴ κἀπὶ τῶν ὑγιεινῶν σημείων ὅταν εἴπῃ ‘μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην‘ καὶ πάλιν ‘ἀσφάλειάν τε γὰρ σημαίνει‘ καὶ ‘τὸ νόσημα ὀλιγοχρόνιον‘ ἤ τι τοιοῦτο προσέθηκε. τὰ δὲ ἁπλῶς θανατώδη καὶ πάλιν ἁπλῶς ‘περιεστικὰ‘

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλούμενα μέσης ἐστὶ τάξεως ἀμφότερα κατὰ τὴν ἑαυτῶν φύσιν. ἐφ’ ἑκάτερα δὲ τούτων ὅσα παραβλητικῶς εἶπεν ἤτοι θανατωδέστερα ἢ περιεστικώτερα ἢ τὸ μᾶλλόν τε καὶ ἧττον ἑκατέροις προσέθηκεν. ἐὰν μὲν γὰρ ἐπιφανῇ τι τοῖς κατὰ τὴν ἑβδόμην ἡμέραν εἰρημένοις ὀλεθρίοις πτύσμασι τῶν τῆς πρώτης τάξεως κακῶν σημείων, οὐκ ἂν οὐδ’ εἰς τὴν ἑνδεκάτην ἡμέραν ὁ κάμνων ἐξίκοιτο καὶ μᾶλλον ἐὰν ἑνὸς πλείω γένηται ταῦτα. [15]

18b 193 κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐὰν τῶν ἱκανῶς ἀγαθῶν ἐπιφανῇ τινα, μέχρι τῆς τρίτης ἑβδομάδος ἐκταθήσεται τὸ νόσημα, μιχθέντων δὲ ἀλλήλοις ὀλεθρίων τε καὶ περιεστικῶν ἢ τῶν μᾶλλον ἐν ἑκατέρῳ τῷ γένει τοῖς ἧττον ἢ ὁπωσοῦν ἄλλως· ἐπὶ μὲν τοῖς πλείοσί τε καὶ ἰσχυροτάτοις ἀγαθοῖς σημείοις ἐλπὶς τὸν κάμνοντα πλείονα ζήσεσθαι χρόνον, ἐπὶ δὲ τοῖς ἐναντίοις ἐλάττονα· κατὰ ταῦτα δὲ κἂν ἤτοι γέρων ἢ ἀσθενὴς τὴν δύναμιν ἢ ἐν ὥρᾳ καὶ χώρᾳ καὶ καταστάσει μοχθηρᾷ καὶ δυσκράτῳ νοσῇ τις, ἐπιταθήσεσθαι τοῦ θανάτου τὸ τάχος προσδοκᾶν, μεγίστην πάλιν ἰσχὺν ἐν τούτοις ἔχειν ἡγούμενος τὸν ἀπὸ τῆς δυνάμεως σκοπόν. Ἔστι δὲ τὰ μὲν ἀγαθὰ τοιαῦτ α . Ἐντεῦθεν ἄρχεται τοῦ καταλόγου τῶν ἀγαθῶν τε καὶ κακῶν σημείων, ὑπὲρ ὧν ἔμπροσθεν εἴρηται. [11]

18b 195 καὶ διὰ τοῦθ’ ὑπερβὰς αὐτὰ τὰ ἑξῆς προχειριοῦμαι. πρὸς μὲν δὴ τὸ περιγενέσθαι πάντων δεῖ παρόντων ἀγαθῶν, πρὸς δὲ τὴν ἀπώλειαν ἀρκεῖ καὶ ἓν παρεῖναι τῶν κακῶν, μόνου τοῦ θᾶττον καὶ βράδιον ἀπολέσθαι ἐκ τοῦ πλείω ἢ ἐλάττω ἀγαθὰ ἢ κακὰ παρεῖναι δηλουμένου. Αἱ δὲ ἄλλαι ἐκπυήσιες αἱ πλεῖσται ῥήγνυνται αἱ μὲν εἰκοσταῖα ι , αἱ δὲ τριηκοσταῖα ι , αἱ δὲ τεσσαρακονθήμερο ι , αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέοντα ι . Ἀσαφές ἐστιν, ὁποίας ἄλλας λέγει. [10]

18b 196 δυνατὸν μὲν γάρ ἐστι καὶ περὶ τῶν ἐν ἑτέροις μέρεσι γινομένων ἐκπυήσεων τὸν λόγον αὐτὸν ποιεῖσθαι καταλιπόντα θώρακα καὶ πνεύμονα, περὶ ὧν ἄχρι δεῦρο διείλεκτο, δυνατὸν δὲ καὶ περὶ τῶν ἐν τοῖς αὐτοῖς μὲν ὀργάνοις, ἀλλ’ οὐχ ὁμοίων ταῖς προειρημέναις, ἐνδέχεται δὲ καὶ περὶ ἀμφοτέρων. ἐπεὶ δὲ “οὐχ ὁμοίων ταῖς προειρημέναις” εἶπον, ἐξηγήσασθαι χρὴ τοῦτο. φημὶ γὰρ οὐ περὶ πασῶν αὐτὸν ἐκπυήσεων, ἀλλὰ τῶν ὡς αὐτὸς εἶπεν ‘ἔτι χολῶδες ἐχουσῶν τι μεμιγμένον‘, ἄχρι δεῦρο ποιεῖσθαι τὴν διδασκαλίαν οὐδὲ τούτων ἁπασῶν, ἀλλ’ ὅσαι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐρράγησαν. ἔστι δὲ τοῦτο σπάνιον. αἱ πλεῖσται γὰρ εἰκοσταῖαι ῥήγνυνται, τινὲς δὲ καὶ μέχρι πλείονος ἀφικνοῦνται χρόνου, περὶ ὧν νῦν διέρχεται. διαφοραὶ δὲ αὐτῶν πασῶν εἰσι κοιναί, δι’ ἃς καὶ τῷ χρόνῳ παραλλάττουσιν ἀλλήλων, ἔκ τε τοῦ πάσχοντος μορίου καὶ τοῦ πλεονεκτοῦντος χυμοῦ. τὰ μὲν γὰρ θερμότερα καὶ μαλακώτερα μόρια θᾶττον ἐκπυΐσκεται, τὰ δὲ ψυχρότερα καὶ σκληρότερα βραδύτερον. οὕτω δὲ καὶ τῶν χυμῶν οἱ μὲν θερμότεροι θᾶττον, οἱ δὲ ψυχρότεροι βραδύτερον. [15]

18b 197 αὗται μὲν αἱ κατ’ αὐτὴν τοῦ πράγματος τὴν οὐσίαν εἰσὶ διαφοραί. προσέρχονται δὲ ἔξωθεν αἱ παρὰ τὴν ἡλικίαν τε καὶ τὴν φύσιν, ὥραν τε καὶ χώραν καὶ κατάστασιν ἔτι τε δύναμιν τοῦ κάμνοντος. ἐν ἁπάσαις δ’ αὐταῖς οἱ μὲν θερμότεροι χυμοὶ θᾶττον, οἱ δὲ ψυχρότεροι βραδύτερον ἐκπυΐσκονται. ταῦτα μὲν οὖν κοινῇ περὶ πασῶν ἐκπυήσεων ἐπίστασθαι καλόν. ἐμοὶ δὲ δοκεῖ νῦν ἔτι περὶ τῶν κατὰ θώρακα καὶ πνεύμονα διέρχεσθαι. Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον ἀπὸ τῆς ἡμέρη c , ἧς τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν ἢ εἴ ποτε αὐτὸν ῥῖγος ἔλαβε καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης βάρος αὐτῷ γεγενῆσθαι ἐν τῷ τόπῳ ᾧ ἤλγε ε . ταῦτα γὰρ ἐν ἀρχῇ γίνεται τῶν ἐμπυημάτω ν . ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τοῦ πύου ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένου c . Ἕν τι τῶν ὁμολογουμένων ἐστὶν ἅπασι σχεδὸν τοῖς ἰατροῖ c, ἐπειδὴ καὶ φαίνεται σαφῶς, ὅταν αἱ κατὰ τὰ κύρια μόρια φλεγμοναὶ μὴ διαφορηθῶσιν ὑπὸ τῶν βοηθημάτων, ἀλλ’ ἐκπυΐσκωνται, ῥῖγος γίνεσθαι τηνικαῦτα καὶ πυρετὸν ἐπ’ αὐτῷ. [15]

18b 198

δέδεικται δὲ ἐν τοῖς Περὶ ῥίγους λόγοις, ὡς ἡ δριμύτης τοῦ γενομένου πύου δάκνουσα καὶ διαβιβρώσκουσα τὰ περικείμενα σώματα ῥῖγος ἐργάζεται παραπλησίως τοῖς δριμέσι φαρμάκοις, ὧν ἐνίοτε προσενεχθέντων ἕλκεσι κακοήθεσιν ἤ τινι σηπεδονώδει διαθέσει ῥιγῶσαί τε καὶ πυρέξαι συνέπεσεν. ἀκολουθεῖ δ’ ἀεὶ τῷ τοιούτῳ ῥίγει πυρετός. ἀμέλει καὶ ὁ Ἱπποκράτης ἀμφοτέρων ἐμνημόνευσε καὶ προτέρου γε τοῦ πυρετοῦ λέγων ἀπὸ τῆς ἡμέρη c , ἧς τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, οὐκ ἐκείνην ἑρμηνεύων τὴν ἡμέραν, ἥτις ὅλου τοῦ νοσήματος ἐγένετο πρώτη, ἀλλὰ καθ’ ἣν τὸ ῥῖγος ἅμα τῷ πυρετῷ συνέπεσεν ἐναργῶς σφοδροτέρῳ δηλονότι τοῦ πρόσθεν ὄντος γενομένῳ. ἀλλὰ καὶ βάρους αἴσθησις γίνεται τηνικαῦτα τοῖς κάμνουσι τοῦ κατὰ πολλὰ καὶ σμικρὰ μόρια παρεσπαρμένου τοῖς φλε γμαίνουσι σώμασι χυμοῦ μετὰ τὴν εἰς πῦον μεταβολὴν ἀθροιζομένου πρός τινα μίαν χώραν κενὴν συνεχῆ τῷ φλεγμαίνοντι παντί.

18b 199 ἐκ τούτων οὖν φησι τῶν χρόνων, ἐν οἷς ταῦτα πρῶτον ἐγένετο, προσδέχεσθαι χρὴ τὰ μὲν εἰκοσταῖα, τὰ δὲ τριακοσταῖα, τὰ δὲ τεσσαρακοσταῖα, τὰ δὲ ἑξηκοσταῖα ῥαγήσεσθαι τῶν ἐμπυημάτων. ἃ δ’ εἶπε γνωρίσματα, τρία τὸν ἀριθμόν ἐστι, ῥῖγος καὶ βάρος καὶ πυρετὸς τοῦ πρόσθεν ὡς ἔφην σφοδρότερος πολλῷ. Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μόνο ν , στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τουτέοις ι , μή τι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ καὶ ἤν τι θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου κατακεκλιμένου ἐπὶ τὸ ὑγιαῖνον πλευρό ν , ἐρωτᾶ ν , εἴ τι δοκέει αὐτῷ βάρος ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθε ν . εἰ γὰρ εἴη τοῦτ ο , ἐπὶ θάτερά ἐστι τὸ ἐμπύημ α , ἐπὶ ὁκοίῳ ἂν πλευρῷ τὸ βάρος ἐγγίνητα ι . Ὅτι διαφράττουσιν ὑμένες τὸν θώρακα διήκοντες ἀπὸ τοῦ στέρνου μέχρι τῆς ῥάχεως, ὡς δύο ποιεῖν αὐτοὺς κοιλότητας, ἐν ταῖς ἀνατομαῖς ἐμάθομεν.

18b 200 ὅθεν οὐδὲ κοινωνεῖ τὰ κατὰ τὸ ἕτερον μέρος ἐμπυήματα τοῖς κατὰ θάτερον ὥσπερ ἐπὶ τῶν ἐντὸς τοῦ περιτοναίου. κατ’ ἐκεῖνο μὲν γὰρ ἐν κύκλῳ πᾶσι τοῖς ἐντέροις περιρρεῖ τὸ πῦον, ἐνταῦθα δὲ οὔτε τὰ κατὰ τὰ δεξιὰ μέρη τοῦ θώρακος εἰς τὰ ἀριστερὰ δύναται μετελθεῖν οὔτ’ ἔμπαλιν ὅσον ἐν τοῖς ἀριστεροῖς ἐστιν εἰς τὰ δεξιὰ μεταρρυῆναι. διὰ τοῦτ’ οὖν ἀξιοῖ καταμανθάνειν, εἴτ’ ἐξ ἀμφοτέρων τῶν μερῶν ἔχει τὸ πῦον ὁ κάμνων εἴτε κατὰ τὸ ἕτερον μόνον. ἐν μὲν γὰρ ταῖς περιπνευμονίαις εἰς ἐμπύημα τρεπομέναις κατ’ ἄμφω μᾶλλον ἢ κατὰ θάτερον ἀθροίζεται τὸ πῦον, ἐν δὲ ταῖς πλευρίτισι κατὰ τὸ ἕτερον μέρος μᾶλλον, οὐ κατ’ ἄμφω. διάγνωσις δὲ τοῦ πεπονθότος ἔκ τε τοῦ τῆς θερμασίας διαφόρου (θερμότερον γάρ ἐστι τὸ πεπονθός) κἀκ τοῦ κατακλινόμενον τὸν ἄνθρωπον ἐπὶ τὸ ἀντικείμενον πλευρὸν αἰσθάνεσθαι βάρους ἐγκειμένου τῷ ὑψηλοτέρῳ μέρει.

18b 201 δῆλον γὰρ ὅτι τὸ πῦον ἠθροισμένον ἐν τούτῳ τῷ μέρει τὴν τοῦ βάρους αἴσθησιν ἐργάζεται. Τοὺς δὲ σύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσδε τοῖσι σημείοις ι · πρῶτον μὲν εἰ ὁ πυρετὸς οὐκ ἀφίησι ν , ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχε ι , ἐς νύκτα δὲ πλείω ν , καὶ ἱδρῶτες πολλοὶ ἐπιγίνονται καὶ βῆξαι θυμὸς ἐγγίνεται αὐτέοισι καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίνοντα ι , αἱ δὲ γνάθοι ἐρυθήματα ἴσχουσι καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν γρυποῦντα ι , οἱ δὲ δάκτυλοι θερμαίνονται καὶ μάλιστα τὰ ἄκρ α , καὶ ἐν τοῖσι ποσὶν οἰδήματα γίνονται καὶ σιτίων οὐκ ἐπιθυμέουσι καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμ α . Ὅσοι πῦον ἀθρόον ἔχουσιν ἔνδον τοῦ σώματος εἴτ’ ἔτι περιεχόμενον ἐν τῷ φλεγμαίνοντι μορίῳ πρόσθεν εἴτε καὶ μετὰ τὸ ῥαγῆναι, δυνατόν ἐστιν ὀνομάζεσθαι τού τους ἐμπύου c, ἀλλ’ εἴθισται παρὰ τοῖς ἰατροῖς μόνους ἢ μάλιστα τοὺς κατὰ θώρακα καὶ πνεύμονα τὸ τοιοῦτον ἔχοντας πάθος ἐμπύους ὀνομάζεσθαι.

18b 202 περιέχεται δὲ μετὰ τὴν ῥῆξιν ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος χώρᾳ τὸ πῦον τοῦτο καὶ εἰ μὴ διὰ ταχέων ἀναπτυσθείη, φθινωδῶς ἀπόλλυνται πυρέττοντες λεπτῶς μέν, ἀεὶ δέ πως αὐξανομένης τῆς θερμασίας εἰς νύκτα. καὶ γίνεται τοῦτο πᾶσι τοῖς ἑκτικῶς πυρέττουσιν οὐ τῷ τῆς διαθέσεως λόγῳ τῆς νυκτὸς αὐξανούσης αὐτοῖς τὸν πυρετόν, ἀλλὰ κατά τι συμβεβηκός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅπερ ἐστὶ τοιοῦτον ἐν τοῖς καλουμένοις ἑκτικοῖς πυρετοῖς, αὐτὰ τοῦ ζῴου τὰ στερεὰ μόρια διάπυρα γίνεται. κατὰ τοῦτ’ οὖν ἀεὶ παραπλήσιος ὁ πυρετὸς ἑαυτῷ μένει τὴν θερμασίαν ἔχων οἵαν περ ἡ τίτανος ἀμυδρὰν τοῖς ἁπτομένοις. ὅταν οὖν φάγωσί τε καὶ πίωσιν, ὅμοιόν τι συμβαίνει τοῖς γινομένοις κατὰ τὴν τίτανον ὕδατι βραχεῖσαν, ὥστε τοὺς ἁπτομένους ἔξωθεν αἰσθάνεσθαι πολὺ θερμοτέρου τοῦ κάμνοντος· ἔδειξα δὲ τοῦτο πολλάκις ὑμῖν ἐπὶ τῶν ἀρρώστων ἄλλοτε ἄλλῳ καιρῷ θρέψας τοὺς οὕτω πυρέττοντας, ἵνα πεισθῆτε διὰ τὴν τροφὴν γίνεσθαι τοῦτ’ αὐτοῖς, οὐ τῷ τῆς διαθέσεως λόγῳ. [15]

18b 203 ἐναργῶς γὰρ φαίνεται συμμεταπίπτειν ἡ πυρετώδης θερμασία τοῖς καιροῖς τῆς τροφῆς αὐτίκα μὲν ἐπὶ ταῖς προσφοραῖς τῶν σιτίων αὐξανομένη σφοδροτάτη τε φαινομένη κατὰ τὴν ἀνάδοσιν αὐτῶν. διὰ δὲ τὴν ἀρρωστίαν τῆς δυνάμεως ἱδρῶτες ἐπιγίνονται διαφορουμένης τῆς ἀναδοθείσης τροφῆς. ἀλλὰ καὶ βῆξαί φησι θυμὸς αὐτοῖς γίνεται (τουτέστι προθυμία) καὶ ἀναπτύουσιν οὐδὲν ἄξιον λόγο υ. εἰ γὰρ ἔπτυον, οὐκ ἂν ἔμπυοι διέμενον. αἰτία δὲ τοῦ μηδὲν ἀναπτύειν ἄξιον λόγου τριττή, τοῦ πύου μὲν αὐτοῦ γλισχρότης καὶ τὸ πάχος, τοῦ δὲ περιέχοντος ὑμένος τὸν πνεύμονα πυκνότης, ἀρρωστία δὲ ἐπὶ τούτοις τῆς τοῦ κάμνοντος δυνάμεως. ἀλλὰ καὶ οἱ ὀφθαλμοί φησιν ἔγκοιλοι γίνοντα ι. κοινόν τι τοῦτο τῶν χρονίων ἁπάντων πυρετῶν καὶ μάλιστα τῶν ξηραινόντων ἐπιφανῶς. ἐρυθραίνονται δὲ τὰ μῆλα διὰ τὴν ἐν τῷ πνεύμονι θερμότητα καὶ τὰς βῆχας. ἄμφω γὰρ ταῦτα θερμαίνει τό τε πρόσωπον καὶ ὅλην τὴν κεφαλὴν ἀπὸ τοῦ κατασκήψαντος εἰς τὸν πνεύμονα ῥεύματος ἀτμῶν ἀναφερομένων ἐπ’ αὐτήν. [15]

18b 204 οἱ δὲ ὄνυχες γρυποῦνται τῶν στηριζουσῶν αὐτοὺς ἑκατέρωθεν σαρκῶν ἐκτηκομένων. οἱ μὲν οὖν δάκτυλοι καίτοι καταψυχόμενοι τοὐπίπαν ἐπὶ τῶν χρονίως νοσούντων ὅμως ἐν ἅπασι τοῖς ἑκτικοῖς πυρετοῖς θερμοὶ διαμένουσιν, ἐπειδὴ κατειλήφασιν οὗτοι τὰ στερεὰ μάλιστα τοῦ σώματος μόρια· κατά γε μὴν ἄκρους ἑαυτοὺς ἐναργέστερον φαίνονται θερμότεροι, οὐκ ἐκ τῶν ἔξω μερῶν, ἀλλ’ ἐκ τῶν ἔνδον, ἔνθα τὸ σαρκῶδες αὐτῶν ἐστι. καὶ ἡ αἰτία πρόδηλος, εἴ γε μεμνήμεθα τῶν ἐπὶ ταῖς προσφοραῖς εἰρημένων. ἔνθα γὰρ 〈ἂν〉 ὑγρότης ᾖ δαψιλεστέρα, σαφέστερον ἐν τούτοις τοῖς χωρίοις ἡ θερμασία φαίνεται. προήκοντός γε μὴν τοῦ χρόνου καὶ οἱ πόδες αὐτῶν οἰδίσκονται τῆς τοῦ σώματος ὅλου νεκρώσεως ἐκεῖθεν ἀρξαμένης ὡς ἂν πορρωτάτω κειμένων μορίων τῆς ἀρχῆς. τηνικαῦτα δὲ ἤδη καὶ ἀνόρεκτοι γίνονται νεκρουμένης δηλονότι τῆς ὀρεκτικῆς δυνάμεως ἅμα ταῖς ἄλλαις. καὶ φλύκταιναί τινες ἐπιγίνονται διαβρωτικῶν ἰχώρων ἀθροιζομένων ἐν τῷ σώματι· τοιαύτην γὰρ αὐτῶν ὁ Ἱπποκράτης ἐδίδαξεν εἶναι τὴν γένεσιν ἐν τῷ δευτέρῳ τῶν Ἐπιδημιῶν, ἡνίκα φησί “καὶ ὑπογίνονται μὲν ἐν τῷ δέρματι ἰχῶρες, ἐγκαταλαμβανόμενοι δὲ θερμαίνονται. [15]

18b 205 ” οἱ γὰρ ἰχῶρες οὗτοι τὸ μὲν ἄλλο τοῦ δέρματος ὅσον μανώτερόν ἐστι διεξερχόμενοι κατὰ τὸ ἔξω πέρας αὐτοῦ πυκνότατον ὂν ἴσχονται. διιστᾶσι δὲ τοῦτο καὶ ἀφιστᾶσιν ἀπὸ τοῦ ἔνδον ἀθροιζόμενοί τε κατ’ αὐτὸ τὰς φλυκταίνας ἐργάζονται. Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτω ν , ἴσχει τὰ σημεῖα ταῦτα καὶ πιστεύειν αὐτοῖσι χρὴ κάρτ α . ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστ ι , σημαίνεσθαι τουτέων ἤν τι ἐπιφαίνηται οἷα καὶ τοῖσιν ἐν ἀρχῇ γινομένοισι ν , ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπο ς . Καλῶς εἶπε πιστεύειν χρῆναι τοῖς τῶν χρονιζόντων ἐμπυημάτων σημείοι ς. [12]

18b 206 οὕτως γάρ ἐστιν ἰσχυρὰ τὴν δύναμιν, ὡς μηδεμίαν ἐν αὐτοῖς ἀμφιβολίαν ἀπολείπεσθαι. τὰ δ’ ὀλιγοχρόνια γνωρίζεται διὰ τῶν ἔμπροσθεν εἰρημένων. ἢν δ’ ἐκεῖνα τὸ ῥῖγος καὶ ὁ πυρετὸς καὶ τὸ βάρος ἔτι τε εἴ τι τῶν ἐπὶ τοῖς χρονίοις εἰρημένων ἤδη φαίνοιτο καὶ εἰ δυσπνούστερος ὁ κάμνων γίνοιτο παρὰ τὸ πρόσθεν. ἀνάγκη δὲ τοῦτο συμβῆναι διὰ τὴν στενοχωρίαν τοῦ πνεύμονος, ὅταν καταλάβῃ τὰς κενὰς χώρας τοῦ θώρακος τὸ πῦον. Τὰ δὲ ταχύτερόν τε καὶ βραδύτερον ῥηγνύμενα τοῖσδε γινώσκειν χρ ή . ἢν μὲν ὁ πόνος ἐν ἀρχῇ γίνηται καὶ ἡ δύσπνοια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ βὴξ καὶ ὁ πτυελισμὸς διατελέῃ ἔχω ν , ἐς τὰς εἴκοσιν ἡμέρας προσδέχεσθαι τὴν ῥῆξιν καὶ ἔτι πρόσθε ν . ἢν δὲ ἡσυχέστερος ὁ πόνος ᾖ καὶ τἄλλα πάντα κατὰ λόγο ν , τουτέοισιν ὕστερον προσδέχεσθαι τὴν ῥῆξι ν , προσγενέσθαι δὲ ἀνάγκη καὶ πόνον καὶ δύσπνοιαν καὶ πτυελισμὸν πρὸ τῆς τοῦ πύου ῥήξεω ς . Ἐξ ὧν ὅτι ῥαγῆναι κίνδυνός ἐστι τὸ διαπυϊσκόμενον, ἔνεστί σοι προγινώσκειν ἐκ τούτων καὶ ὅτι θᾶττον· ἔστι δὲ ταῦτα πόνος καὶ δύσπνοια καὶ βὴξ καὶ πτυελισμός. [15]

18b 207 ἐὰν μὲν οὖν συνεχῆ τε γένηται καὶ ἰσχυρά, ταχεῖαν ἔσεσθαι σημαίνει τὴν ῥῆξιν, ἐὰν δὲ μήτε συνεχῆ μήτε ἰσχυρά, χρονιωτέραν. ἀνάγκη δὲ διαβιβρωσκομένου τοῦ περικειμένου τῷ πύῳ σώματος ὑπὸ τῆς δριμύτητος αὐτοῦ πόνον μὲν γίνεσθαι δι’ αὐτὸ τοῦτο, βῆχα δὲ καὶ πτυελισμὸν ἰχῶρός τινος ἤδη λεπτοῦ διεξερχομένου τὸ περιέχον σῶμα. δυσπνοοῦσι δὲ καὶ δι’ ὅλην μὲν τοῦ νοσήματος τὴν κατάστασιν, ἐξαιρέτως δὲ διὰ τὴν προσγενομένην ὀδύνην. Περιγίνονται δὲ τουτέων μάλιστα μὲν οὓς ἂν ὁ πυρετὸς αὐθημερὸν ἀφῇ μετὰ τὴν ῥῆξιν καὶ σιτίων ταχέως ἐπιθυμέωσι ν . Οὗτος ὁ πᾶς λόγος ὁ ἀπὸ ταύτης τῆς λέξεως ἀρχόμενος ὅλος ἐστὶ σαφὴς τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων. [12]

18b 208 ὑπερβὰς οὖν αὐτὸν ἐπὶ τὰ συνεχῆ μεταβήσομαι. Ὁκόσοισι δὲ ἀποστάσιες γίνονται ἐκ τῶν περιπνευμονικῶν νοσημάτων παρὰ τὰ ὦτα καὶ ἐκπυέουσιν ἢ εἰς τὰ κάτω χωρία καὶ συριγγοῦντα ι , οὗτοι περιγίνοντα ι . [3]

18b 209 Τὸ συριγγοῦνται μόνον ἀσαφές ἐστιν ἐν ταύτῃ τῇ ῥήσει κατὰ μεταφορὰν εἰρημένον. αἱ γάρτοι σύριγγες αἱ κυρίως ὀνομαζόμεναι (ταῦτα δὴ τῶν μουσικῶν ὄργανα) προμήκεις ἔχουσι κοιλότητας· ὅταν οὖν ἐν τοῖς τῶν ζῴων σώμασιν ὅμοιαι παρὰ φύσιν γένωνται, διὰ τῆς αὐτῆς προσηγορίας δηλοῦνται. δοκεῖ δή μοι καὶ νῦν ὁ Ἱπποκράτης διὰ τὸ τῆς διεξόδου πρόμηκες κεχρῆσθαι τῷ συριγγοῦνται ῥήματι. τὸ δὲ σύμπαν τοῦ λόγου κεφάλαιόν ἐστι περὶ τῶν ἐπιγινομένων τοῖς περιπνευμονικοῖς ἀποστάσεων ἐνίοτε μὲν εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἐνίοτε δὲ εἰς τὰ κάτω τοῦ θώρακος χωρία. Ὑποσκέπτεσθαι δὲ χρὴ καὶ τὰ τοιάδε ὧδε · ἢν ὅ τε πυρετὸς ἔχῃ καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες μηδὲ εὔλυτοί τε καὶ ἄκρητοι γίνωνται μηδὲ οὖρον πολύ τε κάρτα καὶ παχὺ καὶ ὑπόστασιν ἔχον πολλή ν , ὑπηρετῆται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν πάντων σημείω ν , τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθα ι . [5]

18b 210 Τὰς προειρημένας ἀποστάσεις ὅπως ἄν τις προγινώσκῃ, διδάσκει διχῇ τεμὼν τὸν λόγον, ὡς τὸ μὲν πρῶτον αὐτοῦ μέρος εἶναι διδασκαλίαν τοῦ γενήσεσθαι τὴν ἀπόστασιν, τὸ δὲ δεύτερον διορίζεσθαι, πότερον ἄνωθεν τοῦ θώρακος εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας ἢ κάτω τῶν φρενῶν. ἀρξώμεθα οὖν καὶ ἡμεῖς ἀπὸ τοῦ πρώτου μέρους, ἐν ᾧ κεφάλαιόν ἐστι δύσπεπτον μὲν εἶναι τὸ νόσημα, μὴ μέντοι θανατῶδες. οὔτε γὰρ ἐὰν εὔπεπτον ᾖ, δι’ ἀποστάσεως, ἀλλ’ ἤτοι δι’ ἐκκρίσεως ἢ κατὰ βραχὺ λυθήσεται πεπανθέν, οὔτε ἐὰν ὀλέθριον ὑπάρχῃ, γενήσεταί τις ἀπόστασις ἀγαθή. [15]

18b 211 μέσον οὖν αὐτὸ χρὴ τῶν τε ἐπιεικῶν εἶναι καὶ τῶν ὀλεθρίων. ὅθεν εἰκότως ὁ Ἱπποκράτης ἔνια μὲν αὐτῶν τῶν γνωρισμάτων ἔγραψεν ἐκ τῶν κακῶν σημείων, ἔνια δὲ ἐκ τῶν ἀγαθῶν· ἃ κατὰ μέρος ἤδη σοι δίειμι τὴν ἀρχὴν ἀπὸ τοῦ πρώτου ποιησάμενος, ὑπὲρ οὗ κατὰ λέξιν οὕτω φησὶν ἢν ὅ τε πυρετὸς ἔχῃ (τουτέστι κατείληφε τὸν ἄνθρωπον), ὡς εἰς ἀπυρεξίαν μηδέποτε ἀφικνεῖσθαι, καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ. παυσαμένης γὰρ αὐτῆς οὐδὲ ἀποστάσεως ἔτι χρεία τίς ἐστι πρὸς τὴν λύσιν ὡς ἐπιεικοῦς τοῦ νοσήματος ὄντος. καὶ τὸ πτύελον, φησί, μὴ ἐκχωρέῃ κατὰ λόγο ν. οὐδὲ γὰρ ὅλως ἀποστάσεως δεήσεται τὸ νόσημα διὰ τῶν πτυσμάτων ἀεὶ ἐκκαθαιρόμενον. εἶτ’ ἐφεξῆς φησι μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιε ς. εἴρηται γάρ σοι καὶ πρόσθεν, ὡς ἐν τοῖς χολώδεσι νοσήμασιν αἱ ἀποστάσεις οὐ γίνονται. χρὴ γὰρ ὠμὴν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παχεῖαν εἶναι τὴν τῶν χυμῶν ὕλην, ἵν’ εἴς τε χρόνον πλείονα ἐκπέσῃ τὸ νόσημα καὶ μὴ δι’ ἐκκρίσεως, ἀλλ’ ἤτοι διὰ ἀποστάσεως ἢ μόνης πέψεως ἰαθῇ.

18b 212 τὸ δὲ ἐφεξῆς τῷδέ τινες μὲν οὕτως γράφουσι· μηδὲ εὔλυτοι καὶ ἄκρητοι γίνωντα ι. ὥσπερ ἔφη μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιε c, οὕτως μη δ ’ εὔλυτοι καὶ ἄκρητοι γίνωνται, τοῦ μὲν ἀκρήτου πρὸς τὰς ἀμίκτους τῶν ἄλλων τινὶ χυμῶν ἀναφερομένου διὰ τὸ μίαν ἔχειν αὐτὰς ποιότητα τὴν τῶν χολωδῶν, τοῦ δὲ μη δ ’ εὔλυτοι πρὸς τὸ πλῆθος τῶν ἐκκρίσεων, ὡς εἴ γε καὶ χολώδεις εἶεν καὶ εὔλυτοι δι’ ἐκκρίσεως μᾶλλον ἢ δι’ ἀποστάσεως ἐσομένης τῆς κρίσεως. ἔνιοι δὲ ἐναντίως γράφουσι τὴν λέξιν ὧδε μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες εὔλυτοί τε καὶ ἄκρητοι γίνωντα ι , εὐλύτους μὲν εἶναι βουλόμενοι τὰς συμμέτρως ὑπερχομένας, ἀκρήτους δὲ τὰς ὑδατώδεις καὶ ἀμίκτους. ἐρρέθη γὰρ ἔμπροσθεν ὡς τὸ ἄκρατον ἐπὶ τῆς ἀμίκτου λέγεται ποιότητος. ἀποφήσας οὖν, φασίν, ὁ Ἱπποκράτης τὰς χολώδεις διαχωρήσεις ἐπὶ τῶν ἀκράτων, ὅπερ ἔστιν ἀμίκτων καὶ οἷον ἄκρων κατὰ μίαν ποιότητα, δῆλός ἐστι τὰς ὑδατώδεις λέγων, αἵπερ ἄπεπτοί τέ εἰσι καὶ διὰ τοῦτο χρόνου δέονται πρὸς τὴν πέψιν, ἐν ᾧ καὶ ἀποστάσεις γίνονται.

18b 213 τὰ μὲν γὰρ ὀξέα δι’ ἐκκρίσεων μᾶλλον εἴωθε κρίνεσθαι, τὰ δὲ χρονίζοντα δι’ ἀποστάσεων. ἀλλὰ περὶ μὲν τῆς ἐν ταῖς εἰρημέναις γραφαῖς διαφορᾶς ἔνεστί σοι καὶ αὖθις ἐπισκέψασθαι κατὰ πολλὴν σχολήν, ἐν δὲ τῷ παρόντι τὴν ὅλην τοῦ λόγου σύνοψιν, ὡς εἰς τὰ τῆς τέχνης ἔργα λαβεῖν ἐξ αὐτῆς τὸ χρησιμώτατον, ἐγώ σοι δίειμι. πρόκειται μὲν αὐτῷ τεκμήρασθαί τι περὶ τῶν εἰς ἀπόστασιν ὁρμησάντων νοσημάτων. εἶναι δὲ χρὴ ταῦτα πάντως μὲν ἐξ ὠμῶν καὶ παχέων χυμῶν, οὐ μὴν ὀλεθρίων. τὰ γὰρ τοιαῦτα χρονίζοντα ποιεῖται τὰς ἀποστάσεις, εἴ γε μὴ κατὰ ‘σύμπεψιν‘ (οὕτως γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἀφ’ Ἱπποκράτου c) ἡ λύσις αὐτῶν γενέσθαι φθάσειε. γνώρισμα δέ σοι τῆς πέψεως ἔσται τὸ οὖρον αὐτό τε πολὺ γινόμενον ὑπόστασίν τε πολλὴν ἔχον. ᾧ δ’ ὑπόστασίς ἐστι πολλή, τούτῳ πάντως ἐστὶ καὶ αὐτὸ παχύτερον τοῦ κατὰ φύσιν. εἰκότως οὖν ἐγένετο διττὴ ἡ γραφὴ κατὰ τὴν λέξιν ἐνίων μὲν οὕτω γραψάντων μηδὲ οὖρον παχύ τε καὶ πολὺ καὶ ὑπόστασιν πολλὴν ἔχο ν, ἐνίων δὲ μηδὲ οὖρον πολὺ κάρτα καὶ ὑπόστασιν πολλὴν ἔχο ν. Γίνονται δ ’ αἱ μὲν εἰς τὰ κάτω χωρία οἷσιν ἄν τι περὶ τὸ ὑποχόνδριον τοῦ φλέγματος ἐγγένητα ι , αἱ δ ’ ἄνω οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέ ῃ , δύσπνοος δέ τινα χρόνον γενόμενος παύσηται ἄνευ προφάσιος ἄλλη c .

18b 214 Προφάσεις εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης τὰς φανερὰς αἰτίας. ὅταν οὖν ἐξαίφνης γενομένη δύσπνοια κατὰ τὰς προειρημένας διαθέσεις ἐξαίφνης πάλιν παύσηται καὶ τὸ γενέσθαι καὶ τὸ παύσασθαι χωρὶς φανερᾶς αἰτίας ἔχουσα, τὴν ἐπὶ κεφαλὴν ῥοπὴν ἐνδείκνυται τῶν χυμῶν, ὥσπερ πάλιν τὴν ἐπὶ τὰ κάτω θερμασία τις ἐν τοῖς ὑποχονδρίοις ἐπιφανής. οὐ γὰρ δὴ τὸν χυμόν γε τὸν φλεγματικὸν ἡγεῖσθαι χρὴ νῦν ὑπ’ αὐτοῦ λέγεσθαι κατὰ τὴν λέξιν, ἐν ᾗ φησιν· οἷσι δἄν τι περὶ τὸ ὑποχόνδριον τοῦ φλέγματος ἐγγένητα ι. πολλῷ γὰρ ἄμεινον ἀκούειν ἐπὶ τῆς παρὰ φύσιν θερμασίας τῆς φλογώδους εἰρῆσθαι τὸ φλέγμα.

18b 215 γίνεται δ’ αὕτη δι’ ἐρυσίπελας ἢ τὴν ἰδίως ὀνομαζομένην φλεγμονήν. εἰ δέ γε τοὐναντίον εἴη λαπαρὸν μὲν καὶ ἀνώδυνον τὸ ὑποχόνδριον, ἡ δ’ ἄνω ῥοπὴ τῶν χυμῶν ὑπὸ τῆς προειρημένης δυσπνοίας δηλουμένη, τὴν ἀπόστασιν ἄνω γενήσεσθαι προσδέχου. Αἱ δ ’ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπνευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι λυσιτελέες μὲν πᾶσα ι , ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἤδη ἐόντος γινόμενα ι . εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίνοιτο τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδους γενομένου καὶ ἐκχωρέοντος ἔξ ω , οὕτως ἂν ἀσφαλέστατα ὅ τε ἄνθρωπος περιγένοιτο καὶ ἡ ἀπόστασις τάχιστα ἀνωδύνως ἂν παύσαιτ ο . εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέοι καλῶς μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτ ο , κίνδυνος γενέσθαι χωλὸν τὸ ἄρθρον ἢ πολλὰ πράγματα παρασχεῖ ν . Ἐπὶ τῶν ἰσχυρῶν περιπνευμονιῶν ἀποστάσεις εἰς τὰ σκέλη γίνεσθαι πάντως μὲν ἀγαθόν ἐστιν, εἴ γε δὴ παντὸς μᾶλλον ἀληθὲς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπάρχει τὸ κατὰ τὸ δεύτερον τῶν Ἐπιδημιῶν ὑπὲρ τῶν ἀγαθῶν ἀποστάσεων εἰρημένον ‘ὡς ἄρισται πασῶν εἰσιν αἱ μάλιστα κάτω καὶ πορρωτάτω τῆς νόσου‘, μᾶλλον δ’ ὅταν ἅμα πέψει γένωνται. [5]

18b 216 καὶ γὰρ καὶ τοῦτο ἐπήνεσεν ἐν τῷ πρώτῳ τῶν Ἐπιδημιῶν εἰπών· “πεπασμοὶ ταχυτῆτα κρίσιος, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν”. ἐνδείκνυται δὲ τὴν πέψιν ἥ τε μεταβολὴ τοῦ πτυέλου καὶ ἡ κένωσις ἄλυπός τε καὶ δαψιλὴς γινομένη. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν ἐπὶ τοῦ πτυέλου τοῦ ἐκχωρέοντος ἔξω· εἰ δὲ καὶ χωρὶς τοῦ πεφθῆναι τὴν νόσον ἀπόστασις εἰς τὰ σκέλη γένοιτο, ῥύσαιτο μὲν ἂν καὶ οὕτως ἐκ τοῦ κατὰ τὴν περιπνευμονίαν κινδύνου τὸν ἄνθρωπον. αὐτὸ δὲ τὸ ἄρθρον, εἰς ὃ κατέσκηψε, δυσίατον ἕξει τὸ ἀπόσκημμα καὶ τάχα ἂν ἐνίοτε χωλανθείη κατὰ τοῦθ’ ὁ ἄνθρωπος. εἴρηται δ’ αὐτῷ πάλιν ἐνταῦθα τῆς ἀπεψίας οὐχ ἓν σημεῖον ὥσπερ τῆς πέψεως, ἀλλὰ προσέθηκε τοῖς πτύσμασι καὶ τὴν ἀπὸ τῶν οὔρων διάγνωσιν. [15]

18b 217 ἐπ’ αὐτῶν γε μὴν τῶν κακοήθων πτυσμάτων οὐκέτι προσέθηκε τὸ ‘μὴ πεπέφθαι‘ (καίτοι γε ἀντέκειτο τοῦτο τῷ ‘πεπαίνεσθαι‘), μόνῳ δ’ ἠρκέσθη τῷ μὴ ἐκχωρεῖν, ἱκανὸν εἶναι γνώρισμα αὐτὸ τῆς κακοηθείας τοῦ νοσήματος ὑπολαβών, ὡς τό γε πτύεσθαι μόνον ἢ πεπέφθαι μόνον οὐδέτερον ἱκανόν. ὅτι καὶ πτύεται πολλάκις αὐτάρκως ἔτι ἀπέπτου τοῦ νοσήματος ὄντος καὶ πέττεται μὲν ἐνίοτε τὸ νόσημα, πτύεται δ’ οὐκ αὐτάρκως τὰ πτύελα, ποτὲ μὲν ἐπ’ ἀρρωστίᾳ τῆς κινούσης τὸν θώρακα δυνάμεως, ἐνίοτε δὲ διὰ πάχος ἢ γλισχρότητα τοῦ πύου καί ποτε δι’ ἀμφότερα συνελθόντα, τήν τε τῆς δυνάμεως ἀρρωστίαν καὶ τοῦ πύου τὴν ποιότητα. χρὴ τοίνυν καὶ πεπέφθαι τὸ νόσημα καὶ πτύεσθαι καλῶς τὰ πτύελα κατὰ τὰς ὑγιάζεσθαι μελλούσας διαθέσεις. κατὰ μέντοι τὰς ἐναντίας ἱκανὸν γνώρισμα καὶ τὸ μὴ πτύεσθαι μόνον. ἐκ περιουσίας δ’ ἂν ἐν αὐταῖς ταύταις ἡ διάγνωσις γένοιτο τῆς κακοηθείας τοῦ νοσήματος, εἰ σὺν τῷ μὴ πτύεσθαι καλῶς μηδὲ κενοῦσθαι τὰ κατὰ τὸν πνεύμονα καὶ θώρακα, προσείη τινὰ καὶ τῆς ἀπεψίας τοῦ χυμοῦ γνωρίσματα. [15]

18b 218 πρόδηλον γὰρ ὅτι χαλεπωτέρα μέν ἐστιν ἡ διάθεσις, ἐφ’ ἧς οὔτε πτύουσιν ἥ τε ἀπεψία διαμένει, μετριωτέρα δέ, καθ’ ἣν πέττεται μέν, οὐχ ἱκανῶς δὲ ἀναπτύουσιν οὐδὲ καθαίρονται τελέως. ὅτι δὲ εἰς ἄρθρα μάλιστα τὰς ἀποστάσεις γίνεσθαι συμβέβηκεν, ὅπερ κἀν ταῖς Ἐπιδημίαις ἔγραψεν, ἐδήλωσε κἀνταῦθα κατὰ τὸ πάρεργον εἰπών· κίνδυνος γενέσθαι χωλὸν τὸ ἄρθρο ν. αἰτία δὲ τῶν τοιούτων ἀποστάσεων ἡ εὐρυχωρία τῶν ἄρθρων ἐστὶν ὑποδεχομένη τὰ κατασκήπτοντα ῥεύματα, δύναται δέ τι καὶ ἡ κίνησις αὐτῶν συντελεῖν· πρὸς γὰρ τὰ κινούμενά τε καὶ θερμαινόμενα ῥᾷον ἀφικνοῦνται πάντες οἱ χυμοί. Ἢν δὲ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντο c , πυρετοῦ δὲ ἔχοντο c , δεινόν · κίνδυνος γά ρ , μὴ παραφρονήσῃ καὶ ἀποθάνῃ ὁ ἄνθρωπο c . Τὸ ἀφανισθῆναί τινα τῶν παρὰ φύσιν ὄγκων εἰπεῖν οὐ ταὐτὸν σημαίνει τῷ ‘παύσασθαι‘ φάναι. [14]

18b 219 γενικώτερον μὲν γάρ τι δηλοῖ τὸ παύσασθαι, τὸ δ’ ἀφανισθῆναι τοῦ διὰ ταχέων παύσασθαι καὶ οἷον ἐξαίφνης ἐστὶ δηλωτικόν. ἐνίοτε μὲν οὖν γίνεται τοῦτο διὰ λεπτότητα χυμοῦ καὶ ἀραιότητα μορίου καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος θερμότητα καὶ τὴν ἰσχὺν τοῦ προσαχθέντος φαρμάκου καὶ τῆς τοῦ κάμνοντος δυνάμεως τὴν ῥώμην. ἐὰν γὰρ ἅμα πάντα συνέλθῃ τὰ εἰρημένα, διαφορηθήσεται ταχέως ὁ παρὰ φύσιν ὄγκος. ὡς τὰ πολλὰ δὲ τὸ ἀφανίζεσθαι τὰ τοιαῦτα συμβαίνειν εἴωθε μεταρρεόντων τῶν ἐργαζομένων αὐτὰ χυμῶν, ἤτοι γ’ εἰς τοὺς αὐτοὺς τόπους, ὅθεν ὥρμησαν, ὅπερ ἰδίως ὁ Ἱπποκράτης ὀνομάζει παλινδρομεῖν, ἢ καί τινας ἄλλους ἐν τῷ βάθει τοῦ σώματος ὄντας. ὡς οὖν ὑπὸ τῶν ἐναντιωτάτων αἰτίων τὸ ἀφανίζεσθαι τοὺς παρὰ φύσιν ὄγκους γινόμενον ἐναντιωτάτην ἔχει καὶ τὴν τελευτήν, ἤτοι γε ἀπαλλαγὴν ταχίστην ἐνδεικνύμενον τῶν λυπούντων ἢ χειρίστην διάθεσιν ἐπανερχομένων αὐτῶν ἐπὶ τὰ κυριώτερα μέρη. ταῦτα μὲν οὖν κοινὰ πασῶν ἀποστάσεων. [15]

18b 220

ὁ διορισμὸς δὲ κοινὸς μὲν καὶ αὐτός ἐστι τῶν ἀφανιζομένων, ἐπισκέπτεσθαι δὲ χρὴ τὰ ἄλλα σημεῖα καὶ μάλιστα τὰ τῶν πεπονθότων μορίων οἰκεῖα. νυνὶ δὲ τῶν ἀναπνευστικῶν ὀργάνων ὁ ἴδιος εἴρηται διορισμὸς πρὸς Ἱπποκράτους ἐχόμενος δηλονότι τῶν κοινῶν. ἔφη γοῦν οὕτως· “ἢν δὲ ἀφανίζωνται αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντος, πυρετοῦ δὲ ἔχοντος, δεινόν”. εὔδηλον γὰρ ὅτι πρὸς τὸ βάθος ἀπεχώρησαν εἰς τόπους κυρίους, ὡς, εἴ γε διεφορήθησαν, οὔτ’ ἂν ἐπύρεττον ἔτι καὶ ῥᾳδίως ἔπτυον. εὔλογον οὖν ἐστιν ἐπὶ τὸν πνεύμονα τούτοις πᾶν ἀποχωρῆσαι τὸ ῥεῦμα. διὸ καὶ παραφρονεῖν αὐτοὺς εἰκός ἐστιν, ἐπειδὴ καὶ τοῦθ’ ἕν τι τῶν ἐπὶ πνεύμονι τὰ τοιαῦτα πάθη πάσχοντι συμβαινόντων ἐστίν. ὅτι δὲ δυσπνοοῦντες τεθνήξονται, παρέλιπεν εἰπεῖν εἰδὼς αὐτὸ νοηθησόμενον ἡμῖν ἐκ τῶν προειρημένων. Τῶν δὲ ἐμπύων τῶν ἐκ τῶν περιπνευμονικῶν νοσημάτων οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται · ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων οἱ νεώτεροι μᾶλλον ἀποθνήσκους ι .

18b 221 Γεραιτέρους οὐχ ἁπλῶς τοὺς γέροντας, ἀλλὰ παραβλητικῶς ἢ συγκριτικῶς ἢ ὅπως ἄν τῳ φίλον ὀνομάζειν, ἀκουστέον ἐστὶν ὡς πρὸς τοὺς νέους. οἱ μὲν γὰρ ἤδη προήκοντες ἱκανῶς κατὰ τὴν ἡλικίαν οὐδ’ ἐξ ἑνὸς νοσήματος μᾶλλον τῶν νεωτέρων διασῴζονται. τοὺς δὲ μεταξὺ τούτων τε καὶ τῶν ἀκμαζόντων, οἵπερ εἰσὶν οἱ ‘μεσαιπόλιοί‘ τε καὶ ‘ὠμογέροντες‘ ὀνομαζόμενοι, διασῳζομένους ἔστιν ἰδεῖν ἐνίοτε μᾶλλον τῶν ἀκμαζόντων, ὥσπερ αὐτὸς ὁ Ἱπποκράτης ἐδίδαξεν ἐπί τε τῶν ἐν τοῖς ὠσὶ φλεγμονωδῶν διαθέσεων καὶ νῦν ἐπὶ τῶν ἐμπύων τῶν ἐκ περιπνευμονίας. ἐν μὲν γὰρ τούτοις ἐπειδὴ διὰ τοῦ πτύειν ἡ ἴασίς ἐστιν ἰσχυρᾶς δυνάμεως δεομένη, διὰ τοῦτο μᾶλλον οἱ νέοι τῶν πρεσβυτέρων σῴζονται.

18b 222 κατὰ δὲ τὰ ἄλλα συμβαίνει φθάνειν ἀποθνήσκειν τοὺς νεωτέρους ἐπὶ τοῖς πόνοις τε καὶ πυρετοῖς, ὅπερ αὐτὸς εἶπεν ἐπὶ τῶν ὤτων. “οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι ἧσσον αὐτοῖσιν ἐπιγίνονται καὶ τὰ ὦτα φθάνει διὰ τοῦτ’ ἐκπυηθέντα”. οἱ δὲ νεώτεροι, φησί, πρὶν ἐκπυηθῆναι τὸ οὖς οἱ πολλοὶ ἀπόλλυνται. ἐπεὶ ἤν γε ῥυῇ τὸ πῦον ἐκ τοῦ ὠτός, ἐλπὶς περιγενέσθαι. κἀπὶ τῶν ἄλλων οὖν ἐμπυημάτων κατ’ αὐτὸν τὸν τοῦ διαπυΐσκεσθαι χρόνον οἱ νεώτεροι φθάνουσιν ἀποθνήσκειν ὑπὸ μεγέθους τῶν πυρετῶν καὶ τῆς ὀδύνης. ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ Αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρί α , ἢν τῶν φρενῶν ἅπτωντα ι , τὰ κάτω ἐκλείπουσα ι , ὀλέθριον κάρτ α . προσέχειν οὖν δεῖ τὸν νοῦν καὶ τοῖσιν ἄλλοισι σημείοισι ν , ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων πονηρὸν ἐπιφαίνητα ι , ἀνέλπιστος ὁ ἄνθρωπο c .

18b 223 εἰ δ ’ ἀνιόντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας καὶ τἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνοιτ ο , ἔμπυον γενέσθαι πολλαὶ ἐλπίδες τοῦτο ν . Τὸ τῶν φρενῶν ἅπτεσθαι τινὲς μὲν ἐπὶ τοῦ παραφρονεῖν εἶπον, ὡς εἰ καὶ οὕτως εἶπεν· αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρί α, ἐὰν ἐπαναβᾶσαι παραφροσύνην ἐργάσωνται, χαλεπαί. τινὲς δὲ ἄμεινον τούτων τὸ μόριον τοῦ σώματος ἐκεῖνο φρένας εἰρῆσθαί φασιν, ὃ δὴ καὶ διάφραγμα προσαγορεύεται. μαρτύριον δὲ τῆς ἀληθείας τοῦ λόγου τὸ κατὰ τὴν τελευτὴν εἰρημένον τοῦ λόγου, ἔνθα φησίν· ἔμπυον γενέσθαι πολλαὶ ἐλπίδες τοῦτο ν. βούλεται γὰρ ἀνελθόντος τοῦ νοσήματος ἐπὶ τὸν θώρακα δυοῖν θάτερον, ἢ εὐθέως ἀπολέσθαι τὸν ἄνθρωπον ἤ, εἰ εἰς τὰ βέλτιστα προάγει, πάντως γοῦν ἔμπυον ἔσεσθαι, διορίζεται δὲ ταῦτα τοῖς ἄλλοις σημείοις.

18b 224 εἰ μὲν γὰρ εἴη μὴ πονηρά, γένοιτ’ ἂν ἔμπυος· εἰ δὲ καί τι μοχθηρὸν ἐπιφανείη, τεθνήξεται πάντως. Κύστιες δὲ σκληραὶ καὶ ἐπώδυνοι δειναὶ μὲν πᾶσαι καὶ ὀλέθριαι · ὀλεθριώταται δὲ ὅσαι σὺν πυρετῷ συνεχεῖ γίνοντα ι . καὶ γὰρ οἱ ἀ π ’ αὐτῶν τῶν κύστεων πόνοι ἱκανοὶ ἀποκτεῖνα ι . καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐπὶ τῶν τοιούτω ν . Εἴρηταί μοι πολλάκις ὡς τὸ τῆς φλεγμονῆς ὄνομα κατὰ τῆς φλογώσεως ὁ Ἱπποκράτης ἐπιφέρει, λόγῳ δηλῶν, ἣν ὁ Ἐρασίστρατός τε καὶ οἱ μετ’ αὐτὸν ὀνομάζουσι μιᾷ προσηγορίᾳ ‘φλεγμονήν‘, ὥσπερ ἀμέλει καὶ νῦν εἶπε· κύστιες δὲ σκληραὶ καὶ ἐπώδυνο ι. διὰ τί δὲ χαλεπὰς ἔφη τὰς τοιαύτας εἶναι διαθέσεις καὶ μάλισθ’ ὅταν ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πυρετὸς ὀξὺς ᾖ, σαφῶς αὐτὸς ἐδήλωσε τό τε μέγεθος αἰτιασάμενος τῶν πό νων καὶ τὴν τῶν διαχωρημάτων ἐπίσχεσιν. [10]

18b 225 ἐπέχεται δὲ διὰ τὴν στενοχωρίαν τοῦ ἀπευθυσμένου καὶ τὴν ὀδύνην τῆς κύστεως. ἀφίστανται γὰρ οἱ κάμνοντες τῆς ἐνεργείας, ὅταν εὐθέως ἀρχομένης αὐτῆς ὀδυνᾶσθαι συμβῇ. καὶ τοῦτο κοινόν ἐστιν ἁπάντων τῶν πόνων. τό γε μὴν ὀδυνᾶσθαι ποτὲ μὲν αὐτῶν τῶν ἐνεργούντων ὀργάνων φλεγμαινόντων, ἐνίοτε δὲ τῶν συνεχῶν αὐτοῖς γίνεται. οὕτως γοῦν ἀναπνέοντες ἀλγοῦσιν ἐπὶ φλεγμονῇ σπληνὸς καὶ γαστρὸς ἥπατός τε καὶ τῶν ἐν ὑποχονδρίῳ μυῶν. καὶ διὰ τοῦτο ἀναγκάζονται δυσπνοεῖν εἶδος δυσπνοίας ἐκεῖνο, καθ’ ὃ μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. εἴρηται δ’ οὐ ταύτης μόνης τῆς δυσπνοίας, ἀλλὰ καὶ τῶν ἄλλων ἁπασῶν ἑκάστης ἡ αἰτία κατὰ τὸ Περὶ δυσπνοίας πρῶτον. Λύει δὲ οὖρον πυῶδες οὐρηθὲν λευκὴν καὶ λείην ἔχον ὑπόστασι ν . Ὅταν ἡ τῆς κύστεως φλεγμονὴ πεφθῇ, συρρέουσιν εἰς τὴν ἔσω χώραν αὐτῆς οἱ πεφθέντες χυμοί, συνεκκρίνονται δὲ δηλονότι τοῖς οὔροις τὸ γνώρισμα τῆς ἀγαθῆς πέψεως ἐν ταῖς ὑποστάσεσιν ἔχοντες. [13]

18b 226 Εἰ δὲ μήτε τὸ οὖρον μηδὲν ἐνδιδοίη μή θ ’ ἡ κύστις μαλάσσοιτο ὅ τε πυρετὸς ξυνεχὴς εἴ η , ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθα ι . Τὸ μὲν μήτε τὴν κύστιν μαλαχθῆναι καὶ τὸν πυρετὸν διαμένειν εὔδηλον, τὸ δὲ μὴ τὸ οὖρον ἐνδοῦναι τῶν ἀσαφῶς εἰρημένων ἐστίν. εἴωθε γὰρ ἐπί τε τῶν διαθέσεων καὶ τῶν συμπτωμάτων φέρειν τοὔνομα, καθάπερ καὶ οἱ ἄλλοι πάντες οἱ μετ’ αὐτόν, ἐνδοῦναι τὴν φλεγμονὴν καὶ τὸν ὄγκον καὶ τὴν σκληρότητα καὶ τὴν τάσιν καὶ τὴν ὀδύνην λέγοντες. οὐ μὴν τό γε οὖρον ἐνδοῦναί τις εἶπεν. ἴσως οὖν ἀπὸ τῶν προειρημένων ὁ Ἱπποκράτης μετήνεγκε τὴν προσηγορίαν ἐπὶ τὸ οὖρον, ἵνα τὴν ἐπὶ τὸ βέλτιον αὐτοῦ μετάστασιν οὕτως ἀκούσωμεν. [10]

18b 227 ὅπερ εἰ συγχωρηθείη, καὶ τὴν ἐξ ἐπισχέσεως κένωσιν εἰρῆσθαι πρὸς αὐτοῦ δυνατόν ἐστιν, ἵνα συνεπινοήσωμεν ἐπὶ τῆς φλεγμαινούσης κύστεως ἐπεσχῆσθαι τὸ οὖρον. εἴωθε γὰρ καὶ τοῦτ’ ἐνίοτε συμβαίνειν, ὁπότε καὶ δεινῶς ὀλέθριόν ἐστι τὸ νόσημα, καὶ σπανίως ἐξ αὐτοῦ διασῴζονται. αὕτη μὲν ἡ γραφὴ τῆς ῥήσεως ἐν ἄλλοις τέ τισίν ἐστι καὶ τοῖς κατὰ τὸν Ἀρτεμίδωρόν τε καὶ Διοσκουρίδην ἀντιγράφοις, ἐν ἑτέροις δὲ ἡ λέξις οὕτως ἔχει· ἢν δὲ μήτε οὖρον ᾗ μηδὲν μή τ ’ ἐνδιδῷ ὁ πόνο c, ὥστε μηδὲν ἔχειν ζήτημα μήδ’ ἀμφίβολον εἶναι τὸ λεγόμενον. Ὁ δὲ τρόπος οὗτος μάλιστα τῶν παιδίων ἅπτεται τῶν ἀπὸ ἑπτὰ ἐτέω ν , ἕς τ ’ ἂν πεντεκαιδεκαετέες γένωντα ι . Διὰ τὰς ἀκαίρους τε καὶ πολλὰς ἐδωδὰς ἀθροίζεται πλεῖστος ὁ καλούμενος ὠμὸς χυμὸς ἐν τοῖς τῶν παιδίων σώ μασιν. [15]

18b 228 οὗτος οὖν διὰ τῶν νεφρῶν ἐκκαθαιρόμενος ὁσημέραι καὶ μέντοι καὶ διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν ἀθροιζόμενος ἐνίοτε μὲν [καὶ] λίθους ἐν αὐτῇ γεννᾶσθαι ποιεῖ, πολλάκις δὲ καὶ φλεγμονάς, ὅταν ποθ’ ἡ κύστις τύχῃ σφοδρότερον ὑπὸ τῆς συνεχοῦς τῶν τοιούτων χυμῶν διεξόδου κακωθεῖσα. Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμό ν , ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυντα ι . [5]

18b 229 Δύο πραγματείας ἔχετε (πρὸς ὑμᾶς γὰρ λέγω τοῦτο τοὺς ἑταίρους, ὅσοι κατηναγκάσατέ με μὴ προῃρημένον ἐξηγήσεις γράψαι τῶν Ἱπποκράτους συγγραμμάτων), ἐν αἷς ἅπαντα περί τε κρισίμων ἡμερῶν εἴρηται καὶ κρίσεων. [5]

18b 230 ἴστε δ’ ὅτι καὶ αὐτὰς οὐχ ὡς ἐκδοθησομένας, ἀλλ’ ὡς παρ’ ὑμῖν μόνοις ἐσομένας ἔγραψα. συνέβη δ’ ἐκπεσεῖν αὐτὰς καὶ παρὰ πολλοῖς εἶναι, καθάπερ καὶ ἄλλα πολλὰ τῶν ὑμῖν γενομένων. ὅθεν οὐδ’ ἐξηγεῖσθαι προῃρούμην ἐν ὑπομνήμασιν οὐδὲν τῶν Ἱπποκράτους βιβλίων. ὅσα γὰρ εἰς τὴν τέχνην χρήσιμα παρ’ αὐτοῦ μαθεῖν ἔδει, γέγραπταί μοι κατὰ πολλὰς πραγματείας ἅμα ταῖς οἰκείαις ἐξηγήσεσιν. ἐπεὶ δ’ ἔνιαι τῶν λέξεων ἀσαφέστερον εἰρημέναι μοχθηρᾶς ἐξηγήσεως ἔτυχον, ὡς ἀρέσκειν ὑμῖν μηδένα τῶν γραψάντων ὑπομνήματα, βέλτιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ αὐτῶν στοχάσασθαι τῆς Ἱπποκράτους γνώμης ἐδόκουν ὑμῖν ἐγώ, διὰ τοῦτό με καὶ διὰ γραμμάτων ἠξιώσατε, παρασχεῖν ὑμῖν, ἅπερ ἐν ταῖς διὰ λόγων συνουσίαις ἠκούσατε. κἀγὼ τοῦτ’ αὐτὸ προεῖπον ὑμῖν, ὡς ἀναγκαῖον ἔσται τὰς ἐξηγήσεις ἀνωμάλους ἔσεσθαι μὴ πάσας ὁμοίως ἐξηγουμένου μου τὰς λέξεις, ἀλλὰ τελεώτερον μέν, ὑπὲρ ὧν οὐδαμόθι τῶν ἐμῶν πραγματειῶν ἐμνημόνευσα, διὰ κεφαλαίων δέ, περὶ ὧν ἤδη τελέως ἐν ἐκείναις διῆλθον, ἵνα μὴ πολλάκις ὑπὲρ τῶν αὐτῶν πραγμάτων ἀναγκάζωμαι γράφειν.

18b 231 Ἐπεὶ τοίνυν ἅπαντα τὸν περὶ κρισίμων ἡμερῶν λόγον, ὡσαύτως δὲ καὶ τὸν περὶ κρίσεων ἐν δύο πραγματείαις διῆλθον, ἐνταυθοῖ μόνα τὰ κεφάλαια τῶν ἐκεῖ γεγραμμένων ἀναμνήσω τὴν ἀρχὴν ἐνθένδε ποιησάμενος. Ἡ κατὰ τὰ νοσήματα κρίσις ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις μετενήνεκται, σημαίνουσα τὴν ὀξύρροπον ἐν νόσῳ μεταβολὴν γινομένην κατὰ τέτταρας τρόπους· ἢ γὰρ ἀπαλλάττονται τῶν νοσημάτων εὐθέως ἢ μεγάλην μεταβολὴν ἐπὶ τὸ βέλτιον ἴσχουσιν ἢ ἀποθνῄσκουσιν εὐθέως ἢ χείρους γίνονται πολλῷ. τὰς μὲν οὖν πρώτας δύο κρίσεις ἁπλῶς ὀνομάζουσι κρίσεις, τὰς δὲ δευτέρας δύο τὰ πολλὰ μὲν ἅμα προσθήκῃ κακὴν κρίσιν ἢ μοχθηρὰν κρίσιν ἤ τι τοιοῦτο τῷ τῆς κρίσεως ὀνόματι προστιθέντες, ἔστιν ὅτε δὲ καὶ χωρὶς προσθήκης ἁπλῶς. ἐμάθετε δὲ καί, ὡς αἱ κρίσεις ἅπασαι μετά τινος φανερᾶς γίνονται κενώσεως ἢ ἀποστάσεως. ἐν γὰρ τῷ σπανίῳ παιδία μόνα δι’ ὕπνων βαθέων καὶ μακρῶν ὀξείας ἐποιήσαντο μεταβολὰς ἐπὶ τὸ βέλτιον, ἃς ἔνιοι μὲν ἀξιοῦσι καὶ αὐτὰς ὀνομάζειν κρίσεις, ἔνιοι δ’ οὐ συγχωροῦσιν, ἡμέρας δὲ κρισίμους καλοῦσιν, ἐν αἷς αἱ τοιαῦται μεταβολαὶ πισταί τε ἅμα καὶ πλεῖσται γίνονται.

18b 232 κατὰ γὰρ τὰς ἄλλας ἡμέρας οὔτε πιστὰς ὁρῶμεν γινομένας τὰς κρίσεις οὔτε πολλάς. κατενόησε δ’ οὐ πρῶτος μόνον, ἀλλὰ καὶ μάλιστα τὴν τῶν κρισίμων ἡμερῶν φύσιν ὁ θαυμάσιος Ἱπποκράτης ἐνεδείξατό τε τὴν αἰτίαν τῆς γενέσεως αὐτῶν, ἣν καὶ ἡμεῖς ἐν τῇ Περὶ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ διήλθομεν, ἰσχυροτέραν μὲν ἐπιδεικνύντες εἶναι περίοδον ἡμερῶν κρισίμων τὴν ἑβδόμην, δευτέραν δὲ τῇ δυνάμει τὴν τετράδα γινομένην ἐκ τοῦ δίχα τμηθῆναι τὴν ἑβδομάδα, σημαίνεσθαι δὲ τὰς μελλούσας ἔσεσθαι κρίσεις ἐν ταῖς ἑβδομαδικαῖς περιόδοις ὑπὸ τῶν τετράδων, τὴν μὲν γὰρ τετάρτην ἡμέραν τῆς ἑβδόμης εἶναι δηλωτικήν, τὴν ἑνδεκάτην δὲ τῆς τεσσαρεσκαιδεκάτης· ὀνομάζει δ’ αὐτὰς ὁ Ἱπποκράτης “ἐπιδήλους” τε καὶ “θεωρητάς”. ἀριθμεῖσθαι μὲν οὖν τὰς ἑβδομάδας τοιῷδε τρόπῳ βούλεται, δύο μὲν ἐφεξῆς ἀλλήλων τὰς πρώτας κατὰ διάζευξιν, ἕπεσθαι δ’ αὐταῖς τὴν τρίτην κατὰ συνάφειαν.

18b 233 διάζευξις μὲν οὖν ἔστιν, ὅταν ἐφ’ ἑτέραν ἡμέραν ληξάσης τῆς προτέρας ἑβδομάδος ἡ μετὰ ταύτην ἀφ’ ἑτέρας ἄρξηται· συνάφεια δέ, ὅταν ἡμέρα μία κοινὴ τῶν ἑβδομάδων ἀμφοτέρων γένηται τελευτώσης μὲν εἰς αὐτὴν τῆς προτέρας, ἀρχομένης δὲ τῆς δευτέρας ἀπ’ αὐτῆς. καὶ διὰ τοῦτο τὴν εἰκοστὴν ἡμέραν ἐσχάτην εἶναι τῆς τρίτης ἑβδομάδος, ὡς εἴ γε καὶ αὕτη κατὰ διάζευξιν ἠριθμεῖτο, τὴν πρώτην καὶ εἰκοστὴν ἡμέραν, οὐ τὴν εἰκοστὴν ἰσχυροτέραν ἐχρῆν εἶναι. φαίνεται δ’ οὐχ οὕτως γινόμενον. ἡ γὰρ εἰκοστὴ καὶ πλεῖστα καὶ βεβαίως ὁρᾶται κρίνουσα. τριῶν οὖν ἑβδομάδων τὰς εἴκοσιν ἡμέρας συμπληρουσῶν, εἶτα τῆς τετάρτης ἑβδομάδος ἀρχομένης κατὰ τὴν εἰκοστὴν πρώτην ἐκ τῶν ἐφεξῆς τριῶν ἑβδομάδων, εἴκοσιν ἡμερῶν συμπληρουμένων, εἰκότως ὁ Ἱπποκράτης τὴν τεσσαρακοστὴν ἡμέραν, οὐ τὴν τεσσαρακοστὴν δευτέραν κρίσιμον εἶναί φησιν, οὕτως δὲ καὶ τὴν ἑξηκοστὴν καὶ τὴν ὀγδοηκοστήν, οὐ τὴν ἑξηκοστὴν τρίτην οὐδὲ τὴν ὀγδοηκοστὴν τετάρτην. αὕτη μὲν οὖν σοι τῶν ἑβδομαδικῶν περιόδων ἡ συναρίθμησις. Ἡ δὲ κατὰ τετράδας ἀκόλουθος τῇδε.

18b 234 τεμνομένης γὰρ ἑκάστης ἑβδομάδος εἰς τὰς ἐν αὐτῇ δύο τετράδας ἡ τετάρτη μετὰ τὴν εἰσβολὴν τοῦ νοσήματος ἡμέρα τελευτὴ μὲν ἔσται τῆς πρώτης τετράδος, ἀρχὴ δὲ τῆς δευτέρας. ἡ δὲ ἐφεξῆς τῇδε τρίτη τετρὰς ἀπὸ τῆς ὀγδόης ἡμέρας ἄρξεται, διότι καὶ ἡ δευτέρα τῶν ἑβδομάδων, ὥστε συμβήσεται τὴν ἑνδεκάτην ἡμέραν τελευτὴν μὲν εἶναι τῆς τρίτης τετράδος, ἀρχὴν δὲ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τετάρτης. ἡ δὲ πέμπτη τετρὰς ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας ἄρξεται, διότι καὶ ἡ τρίτη τῶν ἑβδομάδων. ἀφίξεται τοιγαροῦν εἰς τὴν ἑπτακαιδεκάτην αὐτῆς τὸ τέλος, ἥτις ἐστὶ πάλιν κοινὴ τῶν δύο τετράδων τῆς πέμπτης καὶ ἕκτης, εἰς ἃς ἡ τρίτη τῶν ἑβδομάδων ἐτμήθη. καὶ οὕτως ἡ εἰκοστὴ τοῦ νοσήματος ἡμέρα τέλος μὲν τριῶν ἑβδομάδων, ἓξ δὲ τετράδων. Αὗται μὲν οὖν αἱ κατὰ περιόδους εἰσὶ κρίσιμοι, παρεμπίπτουσι δ’ αὐταῖς καὶ ἕτεραι κατὰ τὰς ὀξείας νόσους, ὧν τὴν αἰτίαν τῆς παρεμπτώσεως ἐν τοῖς Περὶ κρισίμων ἡμερῶν εἶπον. εἰσὶ δ’ αὗται τρίτη καὶ πέμπτη καὶ ἐνάτη. [15]

18b 235 παρεμπίπτει δέ ποτε καὶ ἡ ἕκτη κακὴ κρίσιμος οὖσα τῷ τε μετὰ συμπτωμάτων ἐνίοτε ποιεῖσθαι τὴν κρίσιν ἐπισφαλῶν εἴς τε τὴν καλουμένην ὑπέρκρισιν ἐκπίπτειν καὶ μέντοι καὶ τῷ μὴ τελέως ἀπαλλάττειν τῶν νοσημάτων, ἀλλ’ ἐλλιπῶς ἢ εἴ ποτε καὶ τελέως, ὑποστροφὰς πάντως ποιεῖσθαι. εἴρηται δὲ καὶ ταῦτα καὶ ἄλλα πολλὰ περὶ κρισίμων ἡμερῶν ὑφ’ ἡμῶν, ἃ σύμπαντα σχεδὸν Ἱπποκράτης ἔγραψεν ἄλλα κατ’ ἄλλο βιβλίον, ὑπ’ ἐμοῦ δ’ εἰς ἓν ἤθροισται κατὰ τὴν Περὶ κρισίμων ἡμερῶν πραγματείαν ἅμα τῷ καὶ διορισθῆναι τὰ μὴ διωρισμένα καὶ τελέως ῥηθῆναι τὰ δοκοῦντα ἐλλιπέστερον ὑφ’ Ἱπποκράτους γεγράφθαι. Τῷ μὲν οὖν ἐθέλοντι προγινώσκειν ἀκριβῶς ἀναγνωστέον ἐστὶ τὰς δύο πραγματείας ἐκείνας, τήν τε Περὶ κρισίμων ἡμερῶν καὶ τὴν Περὶ κρίσεων. ἐν δὲ τῷ παρόντι τὴν λέξιν μόνην ἐξηγήσασθαι πρόκειται τῶν εἰρημένων Ἱπποκράτει κατὰ τὸ προκείμενον βιβλίον ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυντα ι. τὸ μὲν ἐξ ὧν ἤτοι τῶν κρίσεων ἢ τῶν ἡμερῶν λέγει καὶ βέλτιον μὴ τῶν ἡμερῶν ἀκούειν, ἀλλὰ τῶν κρίσεων. [15]

18b 236 εἰ γὰρ καὶ ὅτι μάλιστα δυνατόν ἐστι κἀπὶ τῶν ἡμερῶν λέγεσθαι τὸ ἐξ ὧ ν, ἀλλὰ πρώτως ταῖς κρίσεσιν ὑπάρχει καὶ δι’ ἐκείνας καὶ ταῖς ἡμέραις. τὸ δὲ ἐκ τούτων ἤτοι περιγίνεσθαι τὸν ἄνθρωπον ἢ ἀπόλλυσθαι δηλωτικόν ἐστι τοῦ τὴν κρίσιν ὀνομάζειν αὐτὸν ἐπὶ πάσης τῆς ὀξυρρόπου μεταβολῆς, οὐ μόνης τῆς ἐπὶ σωτηρίαν. Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθε ν , οἵ τε κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι τεταρταῖοι κτείνουσιν ἢ πρόσθε ν . Εὐήθεις ἄνθρωποι λέγονται μὲν καὶ οἱ κακοήθεις ἐν ὑποκορίσει τινί, καθάπερ καὶ ὁ πίθηκος καλλίας, λέγονται δὲ καὶ οἱ ἐπαινετὸν ἔχοντες τὸ ἦθος. ἀλλὰ τοῦ μὲν προτέρου παμπόλλη χρῆσίς ἐστι παρὰ τοῖς Ἕλλης ι, τοῦ δὲ δευτέρου σπανιωτέρα. λέγουσι δ’ οὖν ποτε καὶ οὕτως οὐ τὸν εὐήθη μόνον, ἀλλὰ καὶ τὴν εὐήθειαν ἐπὶ τῆς εὖ τὸ ἦθος ἐχούσης διαθέσεως. [10]

18b 237 Δείναρχος μὲν οὖν ἐν τῷ πρὸς Δάωνα οὕτως εἶπε· “διοικῶν δὲ τὴν οὐσίαν ἑαυτοῦ Κεφαλίων μειρακιωδέστερον φύσει χρηστὸς ἦν καὶ εὐήθης”. ὁ δὲ Δημοσθένης ἐν τῷ Κατ’ Αἰσχίνου τοῖς δικασταῖς διαλεγόμενος ἔφη· “νῦν δὲ διὰ τὴν ἡμετέραν εὐήθεια καὶ πρᾳότητα εὐθύνας δίδωσι καὶ ταῦτα, ὁπηνίκα βούλεται.” Πλάτων δ’ ἐν τῷ τρίτῳ τῆς Πολιτείας φησίν· “εὐλογία ἄρα καὶ εὐαρμοστία καὶ εὐσχημοσύνη καὶ εὐρυθμία καὶ εὐήθεια ἀκολουθεῖ, οὐχὶ ἄνοιαν οὖσαν, ἣν ὑποκοριζόμενοι καλοῦμεν εὐήθειαν, ἀλλὰ τὴν ὡς ἀληθῶς εὖ τε καὶ καλῶς τὸ ἦθος κατεσκευασμένην διάνοιαν.” οὕτως οὖν καὶ τὸν εὐήθη κατὰ τὸν Εὐθύδημον εἶπεν ἐπὶ τοῦ τὸ ἦθος ἔχοντος ἁπλοῦν καὶ κεκοσμημένον “καὶ ὃς ἐθαύμασεν· οὕτως ἔτι νέος τε καὶ εὐήθης ἐστίν”. ἀρκεῖ ταῦτα παραδείγματος ἕνεκα πρὸς τὸ γνῶναί σε τὴν τῶν Ἑλλήνων συνήθειαν ἐπί τε τῷ τῆς εὐηθείας ὀνόματι καὶ τοῦ εὐήθους κατὰ διττὸν σημαινόμενον γεγενημένην. [10]

18b 238 Καὶ νῦν οὖν ὁ Ἱπποκράτης κατὰ τὸ ἕτερον αὐτῶν εἶπε τοὺς πυρετοὺς εὐηθεστάτους ἐν ἴσῳ τῷ ἐπιεικεστάτους καὶ ἁπλουστάτους καὶ μηδὲν ἔχοντας κακόηθες. καί, ὅταν τὰ τῆς ἀσφαλείας σημεῖα παρῇ, τῆς πρώτης τετράδος οὐκ ἂν ἐξωτέρω προέλθοιεν, ἀλλ’ ἤτοι κατ’ αὐτὴν ἢ θᾶσσον παύσονται. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ οἱ κακοήθεις πυρετοὶ καὶ μετὰ σημείων ὀλεθρίων γενόμενοι τεταρταῖοι κτείνουσιν ἢ πρόσθε ν. εὔδηλος οὖν ἐστι καὶ τὴν τρίτην ἡμέραν ἐν ταῖς κρισίμοις τάττων ἐν τῷ φάναι τεταρταῖοι παύονται ἢ πρόσθε ν. οὕτω δὲ κἀν τῷ πρώτῳ τῶν

Ἐπιδημιῶν ἐγίνωσκεν ἐν ταῖς κρισίμοις ἡμέραις πρώτην γράψας τὴν τρίτην. ἀσφαλέστατα δὲ σημεῖα λέγει τὰ κατὰ μέρος ἐπῃνημένα πρὸς αὐτοῦ μεγάλως, ὧν καὶ μετ' ὀλίγον ὀνομαστὶ μνημονεύσει παραδείγματος ἕνεκα. Ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτῶν οὕτω τελευτ ᾷ . [14]

18b 239 Πολλάκις εἰρημένην εὑρήσεις παρὰ τοῖς Ἕλλησιν ἔφοδον πολεμίων ἢ λῃστῶν, ἀφ' οὗ νῦν οὕτως ὁ Ἱπποκράτης μετενήνοχε τὴν προσηγορίαν ἐπὶ τὰς τῶν κρισίμων ἡμερῶν περιόδους. τὰ δ' ἐφεξῆς πάντα καὶ καθ' ἑαυτὰ μέν ἐστι σαφῆ, πολὺ δὲ μᾶλλον τοῖς μεμνημένοις ὧν ἄρτι προεῖπον. Οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων ἀτρεκέως ἀριθμεῖσθα ι . οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσιν πεφύκασιν ἀριθμεῖσθα ι . Ἐπειδὴ τὰς τρεῖς ἑβδομάδας εἰς τὴν εἰκοστὴν ἡμέραν περιήγαγε, διὰ τοῦτ' ἔφη οὐ δύναται πλήρεσιν ἡμέραις ἀριθμεῖσθαι τὰ τοιαῦτα ( μηδὲ γὰρ τὸν ἐνιαυτὸν μηδὲ τοὺς μῆνας ὅλαις ἡμέραις ἀριθμεῖσθα ι) καὶ ἀληθῶς γε ταῦτ' εἶπεν. [10]

18b 240 ὁ μὲν γὰρ ἐνιαυτὸς οὐ τριακοσίων ἑξήκοντα πέντε μόνον ἡμερῶν ἐστιν, ἀλλὰ καὶ τετάρτου μέρους ἡμέρας, ἔτι δὲ πρὸς αὐτῷ μορίου τινὸς ἐγγύς πως ἑκατοστοῦ. τῶν μηνῶν δ' ἕκαστος ἐλάττων μέν ἐστι τριάκοντα ἡμερῶν, μείζων δ' ἐννέα καὶ εἴκοσιν. ὀνομάζεται δὲ παρὰ τοῖς παλαιοῖς Ἕλλησι μήν, ὡς καὶ νῦν ἔτι κατὰ πολλὰς τῶν Ἑλληνίδων πόλεων, ὁ μεταξὺ χρόνος δυοῖν συνόδοιν ἡλίου καὶ σελήνης, καὶ ὅστις βούλεται τοῦτον τὸν χρόνον ἀκριβῶς ἐκμαθεῖν ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν ὁπηλίκος ἐστίν, ὅλον ἔχει βιβλίον Ἱππάρχῳ γεγραμμένον ὥσπερ γε καὶ Περὶ τοῦ ἐνιαυσιαίου χρόνου σύγγραμμα ἡμέτερον. οὕτως οὖν καὶ τὴν ἑβδομάδα φησὶν ὁ Ἱπποκράτης (καὶ δηλονότι καὶ τὴν τετράδα) μὴ εἶναι τελείων ἡμερῶν, ἀλλ' ἐνδεῖν τι μόριον τηλικοῦτον, ὡς τὰς τρεῖς ἑβδομάδας εἴκοσιν ἡμέραις περιγρά φεσθαι. [15]

18b 241 τίς δέ ἐστιν αἰτία τούτων, πεπειράμεθα ἡμεῖς εἰπεῖν ἐν τῷ τρίτῳ τῶν Περὶ κρισίμων ἡμερῶν οὐδενὸς τῶν ἔμπροσθεν οὐδ' ἐπιχειρήσαντος εἰπεῖν. Μετὰ δὲ ταύτας ἐν τῷ αὐτῷ τρόπῳ καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ μὲν πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέω ν , ἡ δὲ δευτέρη τεσσαράκοντα ἡμερέω ν , ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέω ν . Οὐ τοῦτο λέγει νῦν ὁ Ἱπποκράτη c, ὅτι μετὰ τὴν εἰκοστὴν ἡμέραν ἄχρι τῆς τριακοστῆς τετάρτης οὐδεμία παρεμπίπτει κρίσιμος (ἑαυτῷ γὰρ οὕτω μάχεται μεταξύ τινων ἡμερῶν κρινουσῶν ἐν Ἐπιδημίαις μεμνημένος τά τε φαινόμενα κατὰ τοὺς ἀρρώστους ἐξελέγχει τὸν λόγον αὐτοῦ), ἀλλ' ἐπειδὴ τριῶν ἑβδομάδων ἄχρι τῆς εἰκοστῆς ἡμέρας ἐφεξῆς ἀλλήλαις ἠριθμημένων οὐχ ἡ αὐτὴ γέγονε σύνθεσις. ἡ μὲν γὰρ δευτέρα διεζεύχθη τῆς πρώτης καὶ κατὰ τοῦτ' εἰς τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ἐτελεύτησεν, ἡ τρίτη δὲ ταύτῃ συνήφθη καὶ κατὰ τοῦτο τὴν εἰκοστὴν ἔσχε τέλος. [10]

18b 242 διὰ τοῦτο καὶ τὰς μετὰ τὴν εἰκοστὴν ἑβδομάδας ὁμοίως προϊέναι βουλόμενος, ὡς ἐκ δυοῖν μὲν διεζευγμένων, τῆς τρίτης δὲ συνημμένης εἴκοσιν ἡμέρας συμπληροῦσθαι, τὴν μὲν τεσσαρακοστὴν ὅρον ἔσχατον ἔθετο τῶν δευτέρων τριῶν ἑβδομάδων· ἐν ταύταις δὲ ταῖς δυσὶ περιέγραψε τὴν τριακοστὴν τετάρτην καὶ κατὰ τοῦτο ταύτης ἐμνημόνευσε πρὸ τῆς τεσσαρακοστῆς κατά τε τὸν αὐτὸν λόγον αἱ μετὰ ταύτας τρεῖς ἑβδομάδες εἰς τὴν ἑξηκοστὴν περιάγονται. καὶ τὴν ὀγδοηκοστὴν δὲ κρίνουσαν οἶδεν, οὐ τὴν ὀγδοηκοστὴν τετάρτην, ἐν τοῖς τῶν Ἐπιδημιῶν. οὕτως αἱ τρεῖς ἑβδομάδες εἴκοσιν ἡμερῶν ἀριθμὸν συμπληροῦσι καὶ γίνεται τοῦτο τῶν δύο μὲν πρώτων ἐν ταύταις κατὰ διάζευξιν ἀριθμουμένων, ὡς εἰς τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν τελευτᾶν, τῆς τρίτης δὲ συναπτομένης τῇ δευτέρᾳ, ὡς καὶ ταύτην εἰς τὴν εἰκοστὴν ἡμέραν περιάγεσθαι. Τουτέων δ ' ἐν ἀρχῇσίν ἐστι χαλεπώτερα προγινώσκειν τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθα ι . [15]

18b 243 ὁμοιόταται γὰρ αὐτῶν αἱ ἀρχαί εἰσι ν . ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι καὶ κα θ ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι καὶ οὐ λήσε ι , ὅπῃ τρέψετα ι . Κἀνταῦθα πάλιν ἐπ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφοτέρων ἔταξε τὸ κρίνεσθαι τῶν τ' ἐπ' ἀγαθῷ καὶ τῶν ἐπὶ κακῷ τὴν μεταβολὴν ποιουμένων. καί φησιν ἐν ἀρχῇ τῶν νοσημάτων, ὅσα μὲν ὀλιγοχρονίως μέλλει κριθήσεσθαι, ῥᾷστην εἶναι τὴν διάγνωσιν αὐτῶν εἰς ὅ τι τελευτήσει, καθάπερ ὀλίγον ἔμπροσθεν ἔφη περὶ τῶν ἐν τῇ πρώτῃ τετράδι μελλόντων κρίνεσθαι· τῶν τε γὰρ πυρετῶν αὐτῶν ὁ μὲν ἀπαλλάττεσθαι μέλλων ἐπιεικέστερός ἐστιν, ὁ δὲ ἀναιρεῖν τὸν κάμνοντα κακοηθέστερος ὅσα τε σύνεστιν ἑκατέρῳ σημεῖα τὰ μὲν ἐν τῷ προτέρῳ πάντ' εἶναι κάλλιστα, τὰ δ' ἐν τῷ δευτέρῳ χείριστα. [10]

18b 244 συμβήσεται γὰρ οὕτω μηδέτερον αὐτῶν ὑπερβῆναι τὴν τετάρτην ἡμέραν, ἐπειδὴ μεμαθήκαμεν ἀεὶ γίνεσθαι τὴν κρίσιν ἤτοι τῆς φύσεως ἐπικρατούσης τοῦ νοσήματος ἢ νικηθείσης ὑπ' αὐτοῦ. τῶν μὲν οὖν ἐπιεικεστάτων νοσημάτων ἡ φύσις τάχιστα κρατεῖ, νικᾶται δ' ὑπὸ τῶν χαλεπωτάτων τάχιστα. κατὰ τοῦτ' οὖν ἐναντιώτατα μὲν ἀλλήλοις ἐστὶ τὰ διὰ ταχέων κρινόμενα, παραπλήσια δὲ τὰ παμπόλλου χρόνου δεόμενα πρὸς τὴν λύσιν. ὥσπερ γὰρ ἐν τοῖς ὀλιγοχρονίοις ὑπεροχὴ μεγάλη ποτὲ μὲν τῆς φύσεώς ἐστι, ποτὲ δὲ τοῦ νοσήματος, οὕτως, ὅταν μηδέτερον ὑπερέχῃ μεγάλως, ἀλλ' ὥσπερ 〈ἂν〉 ἀνταγωνισταί τινες ἰσόρροποι διαμάχωνται, χρόνου δεῖ πλείονος εἰς τὴν ἑκατέρου νίκην, οὕτω καὶ τοὺς παλαίοντας οἱ παλαιστρικῆς ἔμπειροι διαγινώσκουσιν, εἰ μὲν ὑπεροχὴν θεάσονται πολλήν, αὐτίκα νικήσειν τὸν ἕτερον ἐλπίζοντες, εἰ δὲ μηδέτερος ὑπερέχει μεγάλως, ὅτι μὲν ἐν χρόνῳ πλείονι διαπαλαίσουσι βεβαίως εἰδότες, ὅστις δ' ὁ νικήσων ἔσται μηδέπω γινώσκοντες, ἀλλ' ἐν τῷ χρόνῳ προϊόντι καὶ τοῦτο πρότεροι τῶν ἰδιωτῶν καταμανθάνουσιν, ὡς ἂν καὶ τῶν μικρῶν ὑπεροχῶν ὄντες διαγνωστικώτεροι. [15]

18b 245 ᾧ γὰρ ὁ τεχνίτης ἀτέχνου διαφέρει μάλιστα, τοῦτ' ἔστιν αὐτὸ τὸ μικρῶν αἰσθάνεσθαι διαφορῶν. ἀλλ' ἐπεί τινες οὐδ' ὅλως εἰσὶν αἰσθηταὶ διὰ σμικρότητα τῶν τοιούτων, οὐδ' ὁ τεχνίτης ἐστὶ γνωριστικός. ὅταν οὖν πρῶτον αἰσθηταὶ γένωνται, τηνικαῦτα γνωρίζονται. διὰ ταῦτ' οὖν ὁ Ἱπποκράτης ἐκέλευσε κα θ ' ἑκάστην τετράδα διασκοπεῖσθαι τὴν μεταβολήν. οὐ γὰρ λήσε ι , ὅπῃ τρέψεται, τουτέστι πότερον εἰς ὑγείαν τε καὶ σωτηρίαν τοῦ κάμνοντος ἐπικρατησάσης τῆς φύσεως ἢ κρατηθείσης ἐπὶ θάνατον. τουτὶ μὲν τοῦ λόγου τὸ κεφάλαιον. ὅπως δ' ἄν τις αὐτὸ πράττοι κάλλιστα, διὰ τῶν Περὶ κρίσεων ὑπ' ἐμοῦ γεγραμμένων ἔστι σοι μαθεῖν. Γίνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τουτέου τοῦ κόσμο υ . Ἠγνόηται καὶ τοῦτο τοῖς πλείστοις καὶ διὰ τοῦτο θαυμάζουσιν ἐκ μαντικῆς τέ τινος οἴονται προλέγεσθαι πολλάκις ὑφ' ἡμῶν, ὡς οὔτε τις τεταρταῖον ἔχων πυρετὸν ἀπαλλαγήσεται μεθ' ἡμέρας εἰ τύχοι πεντεκαίδεκα. [14]

18b 246 καίτοι γε ἐπὶ τῶν τριταίων οὐ θαυμάζουσι τὴν πρόρρησιν. ἔστι δὲ κοινὸς ἀμφοῖν ὁ λόγος. ὥσπερ γὰρ ἐπὶ τῶν συνεχῶν πυρετῶν ἀριθμοῦμεν ἁπάσας ἐφεξῆς τὰς ἡμέρας εἰς πρόγνωσιν τῆς ἐσομένης κρίσεως, οὕτως ἐπὶ τῶν διαλειπόντων τὰς ἐπισημασίας, ἵν' ὅπερ ἐπὶ τῶν συνεχῶν ἡ ἑβδόμη τῶν ἡμερῶν, τοῦτ' ἐπὶ τῶν διαλειπόντων ἡ ἑβδόμη περίοδος ἐργάσηται. κατὰ τοῦτό γέ τοι καὶ ὁ ἀκριβὴς τριταῖος ἐν ἑπτὰ περιόδοις, οὐχ ἡμέραις ἑπτὰ κρίνεσθαι πέφυκε. καὶ μὲν δὴ καί, ὅπερ ἡ τετάρτη τῶν ἡμερῶν ἀπ' ἀρχῆς ἀριθμοῦντι πρὸς τὴν ἑβδόμην ἐστί, τοῦθ' ἡ τετάρτη περίοδος ὡς πρὸς τὴν ἑβδόμην περίοδον. ἐπίδηλος μὲν γὰρ ἡ τετάρτη τῶν ἡμερῶν ἐστι τῆς ἑβδόμης, ἐπίδηλος δὲ καὶ ἡ τετάρτη περίοδος τῆς ἑβδόμης περιόδου. λέλεκται δὲ καὶ περὶ τῶν τοιούτων ἁπάντων ἐν τοῖς Περὶ κρίσεων. ὅθεν ἀρκέσει νῦν ἀκηκοέ ναι τό γε τοσοῦτον, ὡς καὶ τῶν τεταρταίων πυρετῶν αἱ κρίσεις κατὰ τὸν ἀριθμὸν γίνονται τῶν περιόδων, οὐ τῶν ἡμερῶν. [15]

18b 247 Ἐκ τουτέου τοῦ κόσμο υ . κόσμον εἴρηκε τὴν τάξιν τῶν κρινουσῶν ἡμερῶν. ὥσπερ γὰρ ἀκοσμίας ἴδιόν ἐστιν ἀταξία, οὕτως ἡ τάξις τοῦ κόσμου. κατὰ τοῦτό γέ τοι καὶ τόδε τὸ πᾶν ὠνόμασαν οἱ ἄνθρωποι κόσμον, ἐπειδὴ τέτακται τὰ κατ' αὐτόν, ἐν μέσῳ μὲν αὐτῶν τῆς γῆς

κειμένης, ἔξωθεν δὲ ταύτης περικεχυμένης τῆς θαλάττης, περιέχοντος δὲ ταύτην ἀέρος, ἐκεῖνον δ’ αἰθέρος, εἶτ’ οὐρανοῦ πᾶσι τούτοις κύκλῳ περιβεβλημένου. καὶ μὲν δὴ καὶ αἱ κινήσεις τῶν μὲν ἀπλανῶν ἀστέρων τί δεῖ καὶ λέγειν εἰς ὅσον ἥκουσι κόσμου διὰ παντὸς ὡσαύτως ἔχουσαι; τῶν πλανωμένων δ’ εἰ καὶ μὴ καθ’ ἑκάστην ἡμέραν εἰσὶν ἴσαι, τό γε τεταγμένον ἔχουσιν ἐν ἴσαις χρόνου περιόδοις, ἀεὶ τοὺς αὐτοὺς τόπους τοῦ ζῳδιακοῦ διεξερχομένων αὐτῶν. Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι εὐπετέστερα προγινώσκεσθα ι . [13]

18b 248 μέγιστα γὰρ τὰ διαφέροντα ἀ π ’ ἀρχῆς αὐτοῖσίν εἰσι ν . οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι καὶ κοιμώμενοι τὰς νύκτας καὶ τὰ ἄλλα σημεῖα ἔχοντες ἀσφαλέστατ α . οἱ δὲ ἀπολούμενοι δύσπνοο ι , ἀλλοφάσσοντε c , ἀγρυπνέοντες τά τ ’ ἄλλα σημεῖα κάκιστα ἔχοντε c . Τὸ μὲν εὐπετῶς ἐρρέθη καὶ πρόσθεν ἑτοίμως τε καὶ ῥᾳδίως σημαῖνον, τὸ δ’ εὐπετέστερα ῥᾴονα δηλονότι λέγει καὶ πρὸς τὴν διάγνωσιν ἑτοιμότερα. πρὸ ὀλίγου μὲν οὖν εἶπεν “οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν”, ἀλλὰ νῦν ἐπανέλαβεν αὐτὸ χάριν τοῦ διὰ παραδειγμάτων ἐνδείξασθαι σαφέστερον, ὁποῖα τὰ σημεῖα τὰ κάλλιστά ἐστιν. αὐτὸς γοῦν ἐπιφέρων φησὶν οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοι καὶ ἀνώδυνοι καὶ κοιμώμενοι τὰς νύκτα c , οἱ δ ’ ἀπολούμενοι δύσπνοο ι , ἀλλοφάσσοντε c , ἀγρυπνέοντε c. [10]

18b 249 εἶθ’ ἑκατέρῳ τῷ λόγῳ προσέθηκε τῷ μὲν πρώτῳ καὶ τὰ ἄλλα σημεῖα ἔχοντες ἀσφαλέστατ α, τῷ δὲ δευτέρῳ καὶ τὰ ἄλλα σημεῖα κάκιστα ἔχοντε c, ἐνδεικνύμενος σαφῶς, ὅτι παραδειγμάτων ἕνεκεν ἐμνημόνευσεν ἐξ ἑκατέρου γένους τριῶν σημείων. εἰκότως δὲ καὶ τοῦτο προσέθηκε τῷ λόγῳ μέγιστα γὰρ τὰ διαφέροντα αὐτοῖσιν ἀ π ’ ἀρχῆς ἐστιν, ὅπερ εἴρηταί μοι καὶ πρόσθεν, ὡς παμπόλλη τίς ἐστιν ἡ διαφορὰ πρὸς ἄλληλα τῶν μελλόντων ἐν ἐλαχίστῳ χρόνῳ κρίνεσθαι νοσημάτων ἐπ’ ὀλέθρῳ τε καὶ σωτηρίᾳ, καθάπερ τῶν εἰς πλεῖστον χρόνον ἐκτεινομένων, ὅτι παραπλήσια κατὰ τὴν ἀρχήν ἐστι τὰ σημεῖα. τὸ δὲ ἀλλοφάσσοντες (εἴρηται γὰρ καὶ τοῦτο τοὔνομα κατὰ τὴν ῥῆσιν) οὐ πάνυ τι σύνηθες ὂν ἤτοι τοὺς παραφρονοῦντας ἢ τοὺς μεταρριπτοῦντας ἑαυτούς, ὅπερ ἔστιν ἀσωμένους, ἐνδείκνυται. βέλτιον δ’ ὅσον ἐξ αὐτῆς τῆς φωνῆς οἷόν τε τεκμαίρεσθαι τὸ πρότερον, ἵν’ ᾖ γενόμενον τοὔνομα τὸ ἀλλοφάσσοντες ἐκ τοῦ ἄλλοτε φάσκειν ἄλλα, τινὲς δὲ ἀπὸ τοῦ μεταβάλλειν ἄλλοτε εἰς ἄλλο σχῆμα τὰ φάη, τουτέστι τοὺς ὀφθαλμούς, γεγονέναι φασὶ τὴν προσηγορίαν. [15]

18b 250 Ὡς οὖν τούτων οὕτω γινομένων ξυμβάλλεσθαι χρὴ κατὰ τὸν χρόνον καὶ κατὰ τὴν πρόσθεσιν ἑκάστην ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νοσημάτω ν . Ὥσπερ, ὅσα περὶ τῆς πρώτης τετράδος εἶπε κατὰ τὴν ἀρχήν, ἐπανέλαβε μετὰ τοῦ προσθεῖναι καὶ παραδείγματα, κατὰ τὸν αὐτὸν τρόπον αὖθις ἐν τῇ ῥήσει τῇδε διέρχεται τὰ κατ’ ἐκείνην αὐτῷ γεγραμμένα, δι’ ἧς φησιν “ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρας ἐνθυμέεσθαι καὶ καθ’ ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι καὶ οὐ λήσει, ὅπῃ τρέψεται.” Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνοντα ι . Καθ’ ἣν ἂν ἡμέραν ἀποκυήσῃ, ἡ ἀρχὴ τῆς ἐξαριθμήσεως γινέσθω σοι, μὴ καθ’ ἣν ἤρξατο πυρέττειν. [13]

18b 251 ἔνιαι γοῦν ἤτοι περὶ δευτέραν ἢ τρίτην ἡμέραν ἄρχονται μετὰ τὸν τόκον, ἀφ’ ἧς ἀριθμοῦσιν οἱ πολλοὶ τὴν ἐσομένην κρίσιν. ἔχει δ’ οὐχ οὕτως, ἀλλ’, ἀφ’ ἧς ἀποκυήσει, τὴν συναρίθμησιν δεῖ γίνεσθαι τῶν ἡμερῶν. ὁπότ’ οὖν ταῦτα ἅπαντα περὶ τῶν κρισίμων ἡμερῶν ἐπὶ κεφαλαίων διῆλθεν ὁ Ἱπποκράτη c, ἀναμνῆσαί σε βούλομαι τοῦ πολλάκις ἐν πολλοῖς ὑπ’ ἐμοῦ λεγομένου. τί δ’ ἐστὶ τοῦτο; τὸ τῶν ζητουμένων ἔνια μηδὲν εἰς τὰ τῆς τέχνης ἔργα συμβαλλόμενα λογικὴν ἔχειν τὴν σκέψιν. ἡ μὲν γὰρ χρεία τῆς προγνώσεως ἔστιν ἐν τῷ γνῶναι τὴν ἡμέραν, ἐν ᾗ κριθήσεται τὸ νόσημα, τὸ δ’ εἴτε ὀξὺ κλητέον εἴτε κάτοξυ τὸ τοιοῦτον εἴτε χρόνιον εἴτε ὀξὺ παρηυξημένον εἴτε ἐκ μεταπτώσεως ὀξύ, περὶ ὀνομάτων ἐστὶ μᾶλλον ἢ περὶ πραγμάτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζητεῖν. εἰ δὲ καὶ περὶ πραγμάτων ἐθέλοι τις εἶναι τὴν τοιαύτην ζήτησιν, ἀλλʼ οὔτι γε περὶ τοιούτων πραγμάτων ἐστίν, ἐξ οἵων ἄν τις ὁρμώμενος ἢ προγνοίη τὸ γενησόμενον ἢ θεραπεύσειεν ὀρ θῶς.

18b 252 Ὑποκείσθω γὰρ ἡμῖν ἀληθῶς προεγνῶσθαι τὸν νοσοῦντα κατὰ τὴν εἰκοστὴν ἡμέραν ἀπαλλαγήσεσθαι τοῦ νοσήματος, εἶτα γενομένου τοῦ πράγματος ὡς ἠλπίσθη τὸν μέν τινα λέγειν ὀξὺ νόσημα γεγονέναι τἀνθρώπῳ, τινὰ δʼ οὐκ ἐπιτρέπειν ὀξὺ προσαγορεύειν αὐτό (πέρας γὰρ εἶναι τῶν ὀξέων τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν), εἶτʼ αὖθις πάλιν ἀλλήλοις διαφέρεσθαι, τοῦ μέν τινος, ἐπειδὴ τῶν ὀξέων ἐξέπεσεν ἡ νόσος, ἄντικρυς αὐτὴν ὀνομάζοντος χρονίαν (εἶναι γὰρ ἄλλην τρίτην οὐδεμίαν διαφορὰν ἀπὸ χρόνου ποσότητος ἐν τοῖς νοσήμασιν ὑποληπτέον), ἑτέρου δὲ ἐκ μεταπτώσεως ὀξὺ τὸ τοιοῦτον νόσημα καλοῦντος, ἄλλου δὲ παρηυξημένον ὀξὺ προσαγορεύοντος, ἄλλου δʼ οὐχ ἁπλῶς οὕτως, ἀλλὰ παρηυξημένον ἐπʼ ὀλίγον ὀξὺ καλοῦντος. ἵνʼ οὖν τις ἀκούσῃ, πρῶτον μέν, ἐκ τίνων πιθανῶν ἕκαστος τῶν διαφωνούντων ὁρμᾶται, διακρίνῃ δʼ ἐφεξῆς, ὅστις ἄμεινον αὐτῶν ἢ χεῖρον γινώσκει, κατατρίψει μὲν οὐκ ὀλίγον χρόνον, ὀνήσεται δʼ οὐδὲν εἰς τὴν τέχνην. οὕτω δὲ καὶ ὅστις μὲν οἶδε προγνῶναι κατὰ τὴν εἰκοστὴν ἑβδόμην λυ θησόμενον τὸ νόσημα, μὴ δύναται δʼ ἀποφαίνεσθαι πότερον ὀξὺ κλητέον ἢ χρόνιον ἢ παρηυξημένον ὀξὺ ἢ ἐκ μεταπτώσεως ὀξύ, βέβλαπταί τι πρὸς τὴν τέχνην οὐδὲ οὗτος οὐδέν.

18b 253 ἄριστον γάρ ἐστιν ἐν ταῖς κατὰ χρόνον διαφοραῖς τῶν νοσημάτων τοσοῦτον αὐτῶν ὑπολαμβάνειν εἶναι τὸν ἀριθμὸν ὅσον περ καὶ τῶν κρινουσῶν περιόδων, ὡς εἶναι τὸν μὲν ὀλιγοχρονιώτατον ἐν τῇ πρώτῃ τετράδι περιγραφόμενον, ἐφεξῆς δὲ τούτῳ τὸν κατὰ τὴν δευτέραν, εἶθʼ ἑξῆς τὸν κατὰ τὴν τρίτην, εἶτα τὸν κατὰ τὴν τετάρτην καὶ μετὰ τοῦτον τὸν κατὰ τὴν πέμπτην, ἐφεξῆς δὲ τούτῳ τὸν κατὰ τὴν ἕκτην, ἥτις εἰς τὴν εἰκοστὴν ἡμέραν ἀφικνεῖται, μετὰ δὲ ταύτην ἐκλύεσθαι μὲν τὰς τετράδας, ἑβδομαδικὰς δὲ γίνεσθαι κρίσεις, εἶτα καὶ ταύτας ἐκλύεσθαι τοῦ χρόνου προϊόντος, ὡς διʼ εἴκοσιν ἡμερῶν τὰς λύσεις τῶν νοσημάτων ἀποτελεῖσθαι καὶ μετὰ ταύτας εἰς ἀριθμὸν μεταβαίνειν μηνῶν. δύο γὰρ προθεσμίαι χρόνων εἰσὶ τοῖς νοσήμασιν, ὡς τὰ μὲν ὀξέα, τὰ δὲ χρόνια λέγεσθαι, ἀλλʼ ἕνεκα σαφοῦς διδασκαλίας πολλάκις οὕτως ὀνομάζομεν, εἶθʼ ὑπὸ τῶν πραγμάτων αὐτῶν ἀναγκαζόμεθα μεταξὺ πάλιν αὐτῶν ἕτερα τιθέναι τὰ ἐκ μεταπτώσεως ὀξέα καὶ ποιεῖν τρεῖς τὰς πάσας διαφοράς, αὖθις δὲ τούτων ἑκάστην τέμνειν, οἷον εὐθὺς ἐπὶ πρώτων τῶν ὀξέων τὸ μὲν ἁπλῶς "ὀξύ", τὸ δὲ "κάτοξυ" πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους ὠνόμασται, κάτοξυ μὲν τὸ τῆς ἑβδόμης ἡμέρας οὐκ ἐξωτέρω προϊόν, ἀλλʼ ἤτοι κατʼ αὐτὴν ἢ καὶ πρωϊαίτερον κρινόμενον, ὀξὺ δὲ τὸ μέχρι τῆς τεσσαρεσκαιδεκάτης ἐκτεινόμενον.

18b 254 εἶτα καὶ τούτῳ πάλιν αὐτῷ βραχύ τι προστιθέμενον ὁρῶντες ἀπορούμεθα, προσηγορίαν ἰδίαν οὐκ ἔχοντες θέσθαι τῷ κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν κρινομένῳ νοσήματι, καθάπερ οὐδὲ τῷ κατὰ τὴν εἰκοστὴν τῆς καλουμένης σωριτικῆς ἀπορίας κατὰ τὸ πρᾶγμα φαινομένης, ὥστʼ ἐνίοτε πιθανὸν ἡμῖν δοκεῖ τὴν εἰκοστὴν ἡμέραν ὅρον θέσθαι τῶν ὀξέων, οὐ τὴν τεσσαρεσκαιδεκάτην οὔσης καὶ ἄλλης οὐ σμικρᾶς ἀπορίας κατὰ τὸ πρᾶγμα. τὸ γὰρ ὀξὺ νόσημα μετὰ μεγέθους τινὸς νοεῖται καὶ συνεχείας πυρετοῦ. τὸ γάρτοι μὴ τοιοῦτον εἴτε καὶ περὶ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ἢ καὶ θᾶττον λυθείη, τῆς αὐτῆς προσηγορίας οὐκ ἀξιοῦμεν.

18b 255 Αὗται μὲν οὖν αἱ διαφοραὶ καὶ τοσαῦται περὶ τῶν ὀξέων νοσημάτων εἰσὶ τῆς προθεσμίας, ἄλλαι δὲ περὶ τῶν μετὰ τὴν εἰκοστὴν ἡμέραν κρισίμων εἰς πλάτος ἱκανὸν ἐκτεταμένων. κἀκείνων δʼ εὔλογον οἶμαι τὰ μὲν ἄχρι τεσσαράκοντα ἡμερῶν προϊόντα κατά τινα διαφορὰν ἰδίαν τίθεσθαι, τὰ δʼ ἀπὸ τούτων ἄχρι μηνῶν ἑπτὰ κατʼ ἄλλην διαφοράν, ὥσπερ γε καὶ τὰ ἐνιαύσια κατʼ ἄλλην αὖ πάλιν καὶ ταῦτα καὶ πρός γε τούτοις ἔτι τὰ συναριθμήσεις ἐτῶν, οὐ μηνῶν ἔχοντα. ὅπερ οὖν ἀεὶ λέγω, τὰ μὲν τοιαῦτα παραλειπτέον ἐστίν, ἀσκητέον δʼ αὐτὸν ἱκανὸν εἶναι προγινώσκειν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁπότε λυθήσεται τὸ νόσημα. φαίνεται γοῦν ὁ Ἱπποκράτης ἐφ’ ἑνὸς εἴδους νοσήματος, ὃ καλεῖν εἴωθεν ἐμπύημα, τισὶ μὲν αὐτῶν τὴν εἰκοστὴν ἡμέραν ὅρον τῆς ῥήξεως τιθέμενος, ἐνίοις δὲ τὴν τριακοστὴν ἢ τεσσαρακοστὴν ἢ ἑξηκοστήν. ἐπιτρέψας οὖν τὰς προσηγορίας ἑτέροις ἐπ’ αὐτῶν τίθεσθαι τοῖς τὰ τοιαῦτα δεινοῖς αὐτὸς σπούδαζε προγινώσκειν, εἰς ἥντινα τῶν προειρημένων ἡμερῶν ἡ προθεσμία τῆς ῥήξεως ἀφίξεται.

18b 256 τοῦτο δ’ εὑρήσεις διὰ δυοῖν ὥσπερ ὀργάνοιν, ἐμπειρίας τε καὶ λόγου, τῆς μὲν ἐμπειρίας ἓν καὶ δεύτερον ἐμπύημα διδαξάσης ἐρρωγὸς ἑκάτερον ἰδίᾳ προθεσμίᾳ, τοῦ λόγου δὲ γινώσκοντος τήν τε τῆς ὕλης τῶν ἐμπυημάτων οὐσίαν τό τε δραστικὸν αἴτιον αὐτῆς τά τε τούτῳ συνεργοῦντα. θεασάμενος γάρ τις τὸ πρῶτον ἐμπύημα κατὰ τὴν τεσσαρακοστὴν ἡμέραν, εἰ τύχοι ῥαγέν, ὑπὸ τοῦ τοιοῦδε χυμοῦ γεγονός, οἷον ὅτι μετρίως ψυχροῦ καὶ καθ’ ὥραν ὡσαύτως μετρίως ψυχράν, ἡλικίαν τε καὶ χώραν καὶ φύσιν ὅλου τε τοῦ σώματος καὶ τοῦ πεπονθότος μορίου καὶ πάλιν ἕτερον θεασάμενος ἑξηκοσταῖον ἐρρωγός, ἐπὶ ψυχροτέροις ἅπασι τοῖς προειρημένοις ἢ εἰ οὕτως ἔτυχεν εἰκοσταῖον ἐπὶ θερμοτέροις, ἐκ τούτων ὁρμώμενος ἱκανὸς ἔσται περὶ τῶν ἄλλων ἐμπυημάτων στοχάζεσθαι, σκοποῖς μὲν χρώμενος τοῖς ἐμπείρως ὁραθεῖσι, παραβάλλων δ’ ἐκείνοις τὰ νῦν γινόμενα κατὰ θερμότητα καὶ ψῦξιν αὐτῶν τε τῶν μεταβαλλομένων χυμῶν καὶ τῆς ἀλλοιούσης αὐτοὺς αἰτίας δραστικῆς, ἥτις ἐστὶ τὸ ἔμφυτον θερμόν, ὅσα τἄλλα ταύτῃ συνεργεῖ κατὰ χώραν καὶ ὥραν καὶ κατάστασιν, αὐτῆς δὲ τῆς δραστικῆς αἰτίας τὸ μέγεθος ἔκ τε τῆς ἡλικίας τεκμαιρόμενος ἔτι τε τῆς ἰδίας φύσεως αὐτοῦ καὶ τοῦ μορίου, καθ’ ὃ συνέβη τὴν ἐκπύησιν γενέσθαι, καὶ τῶν ἄλλων σημείων, ὅσα ῥώμην τε καὶ ἀρρωστίαν ἐνδείκνυται τῆς κατὰ τὰς ἀρτηρίας τε καὶ τὰς φλέβας δυνάμεως.

18b 257 ὁ γὰρ μηδὲν τούτων ἐπιστάμενος, ἀλλὰ περιμένων ἐκ παρατηρήσεως διδαχθῆναι περὶ πάντων τῶν ἐμπυημάτων, ἐτῶν εἰς τοῦτο χιλίων δεῖται, ὥσπερ αὖ πάλιν ὁ πρὸς τὴν ἔμφυτον ἀποβλέπων θερμασίαν ὁπόση τίς ἐστι καὶ ταύτῃ παραβάλλων τὴν φύσιν τῶν πεφθησομένων χυμῶν ὁδὸν ἔχει τῆς εὑρέσεως οὗ ζητῶν τυγχάνει πράγματος. οὗτος οὖν ἐστιν ὁ δυνάμενος, ἐξ ὧν εἶδε καὶ περὶ ὧν οὐκ εἶδε, τεκμαίρεσθαι τεχνικῶς. οὗτος ἐρεῖ μόνος, ὡς περὶ μὲν τὴν εἰκοστὴν ἡμέραν ἐκπυήσει τόδε τι, περὶ δὲ τὴν τριακοστὴν τόδε τι καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, οὐδὲν ἔτι προστιθέναι δεόμενος, εἴτ’ ὀξὺ χρὴ καλεῖν εἴτε χρόνιον εἴτ’ ἐκ μεταπτώ σεως ὀξὺ τὸ νόσημα.

18b 258 ταῦτα γὰρ ἔργον ἐστὶ διακρίνειν οὐκ ἰατρῶν εἰς τὰ τῆς τέχνης ἔργα σπευδόντων, ἀλλὰ σοφιστῶν λόγοις σχολαζόντων. καὶ διὰ τοῦτο περὶ μὲν τῶν τοιούτων προβλημάτων ἐφ’ ὑψηλοῦ θρόνου καθήμενοι σεμνῶς πάνυ καταντλοῦσι λόγοις οἱ πολλοὶ τοὺς μαθητάς, ὁποῖον δέ τι γενήσεται τῷ κάμνοντι, “μᾶλλον αὐτοὺς λέληθεν ἢ οἱ τῆς θαλάττης χόες”. ἕτεροι δὲ ἔμπαλιν ἱκανοὶ μέν εἰσι καὶ διαγνῶναι τὰ νοσήματα καὶ προγνῶναι τὰ γενησόμενα, λέγειν δ’ οὐδὲν ἔχουσιν εἰς τὰ λογικὰ ζητήματα καὶ ἐκ ταύτης τῆς αἰτίας ἄλλοι μὲν ἰατροὶ νομίζονται παρὰ τοῖς ἀνθρώποις, ἕτεροι δὲ σοφισταὶ καὶ λογιατροί. καλοῦσι γὰρ αὐτοὺς οὕτω, κἂν θεάσωνταί τινα βιβλίον ἀναγινώσκοντα καὶ λόγῳ χρώμενον εἰς ἑρμηνείαν τῶν χρησίμων φαρμάκων, ὑποπτεύουσι τοῦτον ἐκ τῶν λογιατρῶν εἶναι. Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί 〈τε〉 καὶ ξυνεχέες σὺν πυρετ ῷ , ἢν μέν τι τῶν θανατωδέων σημείων προσγένητα ι , ὀλέθριον κάρτ α . [12]

18b 259 εἰ δὲ τοιούτων ἄτερ σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας καὶ ὁ πυρετὸς ἔχο ι , ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν ἢ ἄλλην ἀπόστασιν ἐς τὰ κάτω χωρί α . ἔς τ ’ ἂν δὲ ἡ ὀδύνη νεαρὰ ᾖ , προσδέχεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν ἢ ἐκπύησι ν , ἄλλως τε ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους καὶ τὸ μέτωπον ᾖ . Ἀτακτότερον ἡρμήνευται χρησιμώτατον εἰς πρόγνωσιν ὂν πρᾶγμα· κατὰ τάξιν δ’ ἂν οὕτως ῥηθείη· κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ συνεχεῖς σὺν πυρετ ῷ , ἢν μέν τι τῶν θανατωδῶν σημείων προσγένηται, τελέως ὀλέθριο ν. εἰ δ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξ ὧν ἔμαθες ἐλπίζεις τι περὶ τοῦ νοσοῦντος ὡς σωθησομένου, κατ' ἀρχὰς μὲν ἄχρι τῆς ἑβδόμης ἡμέρας αἱμορραγίαν διὰ ῥινῶν προσδέχου, προελθόντος δὲ τοῦ χρόνου καὶ τοῦτο μὲν ἔτι· πῦον δ' ἂν ἔλθοι διὰ ῥινῶν ἢ δι' ὤτων ἐπὶ σωτηρίᾳ τοῦ κάμνοντος. εἰ δ' ἄχρι τῶν εἴκοσιν ἡμερῶν ἐκτα θείη τὸ σύμπτωμα τῆς κεφαλαλγίας, ἔτι καὶ τότε τὴν αἱμορραγίαν σπανιώτερον ἔλπιζε, μᾶλλον δὲ ἐκπύησιν ἢ ἀπόστασιν εἰς τὰ κάτω χωρία προσδέχου. [10]

18b 260 κατ' ἐκεῖνον δὲ τὸν χρόνον, καθ' ὃν ἂν τὴν αἱμορραγίαν ἐλπίσῃς, αὐξήσει σου τὴν ἐλπίδα κατὰ τοὺς κροτάφους τε καὶ τὸ μέτωπον ὀδύνη σφοδρὰ παραμένουσα. Μᾶλλον δὲ χρὴ τοῦ μὲν αἵματος προσδέχεσθαι τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέω ν , τοῖσι δὲ γεραιτέροισι τὴν ἐκπύησι ν . Ἀπὸ τῆς ἡλικίας ὁ διορισμὸς εἰς τὸ μᾶλλον ἐλπίζειν τὴν διὰ ῥινῶν αἱμορραγίαν. ἡ δ' αἰτία πρόδηλος εἰρημένη πολλάκις, ὡς ἡ μέχρι πέντε καὶ τριάκοντα ἐτῶν ἡλικία πλεῖστον αἷμα γεννᾷ. πρόσεστι δὲ τούτῳ καὶ τὸ θερμότερόν τε εἶναι καὶ χολωδέστερον ἐν ταύτῃ τῇ ἡλικίᾳ τὸ αἷμα. [10]

18b 261 λέλεκται δὲ καὶ πρόσθεν εἰς τὰς ὑπὸ τῆς φύσεως γινομέ νας αἱμορραγίας τὸ τοιοῦτον ἐπιτήδειον εἶναι. [ἐπὶ 〈δὲ〉 τῶν γεραιτέρων τῶν περαιτέρω τῶν τριάκοντα καὶ πέντε ἐτῶν μᾶλλον προσδοκῆσαι τὴν ἐκπύησιν.] Ὠτὸς δὲ ὀδύνη ὀξείη σὺν πυρετῷ συνεχεῖ τε καὶ ἰσχυρῷ δεινό ν . παραφρονῆσαι γὰρ κίνδυνος τὸν ἄνθρωπον καὶ ἀπολέσθα ι . ὡς οὖν σφαλεροῦ ἐόντος τουτέου τοῦ τόπου ταχέως δεῖ προσέχειν τὸν νόον καὶ τοῖσιν ἄλλοισι σημείοισι πᾶσιν ἀπὸ τῆς πρώτης ἡμέρη ς . Οὔτε ποτὲ γίνεται ὀδύνη σφοδρὰ τῶν φαινομένων τούτων ὤτων οὔτ', εἰ καὶ γένοιτο, κίνδυνος ἀκολουθήσει, μήτ' αὐτοῦ τι τοῦ μορίου κύριον ἔχοντος μήτε κυρίῳ τινὶ συνεχοῦς ὄντος, ἀλλ' εἰώθασιν ὠταλγίας ὀνομάζειν, ὅταν ἐν τῷ βάθει κατὰ τὸν ἀκουστικὸν πόρον ἡ τῆς ὀδύνης αἴσθησις γένηται. τηνικαῦτα γὰρ αὐτὸ πάσχει τὸ ἀκουστικὸν ὀνομαζόμενον νεῦρον, οὐ διὰ μακροῦ συνά πτον τῷ ἐγκεφάλῳ. [10]

18b 262 εἰκότως οὖν ἀπόλλυνται πολλοὶ κατὰ τὰς σφοδρὰς ὠταλγίας εἰς συμπάθειαν ἐρχομένου τοῦ ἐγκεφάλου. διὸ καὶ παραφρονοῦσι τῶν καμνόντων ἔνιοι καὶ μέντοι καὶ ἀποθνῄσκουσί τινες αὐτῶν ἐξαίφνης, ὃν τρόπον οἱ ἀπόπληκτοι, ὅταν ἐπὶ τὸν ἐγκέφαλον ἀθρόως ἀφίκηται τὸ τὴν ὠταλγίαν ἐργαζόμενον ῥεῦμα. Ἀπόλλυνται δ ' οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι καὶ ἔτι θᾶσσον ὑπὸ τοῦ νοσήματος τούτο υ , οἱ δὲ γέροντες πολλῷ βραδύτερο ν . οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι ἧσσον αὐτοῖσιν ἐπιγίνονται καὶ τὰ ὦτα φθάνει διὰ τοῦτο ἐκπυέεσθα ι , ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι ἀποκτείνουσι τοὺς πλείου ς . οἱ δὲ νεώτεροι πρὶν ἐκπυῆσαι τὸ οὖ ς , ἀπόλλυντα ι . ἐπεὶ ἤν γε ῥεύσῃ πῦον ἐκ τοῦ ὠτό ς , ἐλπὶς περιγενέσθαι τὸν νέο ν , ἥν τι καὶ ἄλλο χρηστὸν αὐτέῳ ἐπιγένηται σημεῖο ν . Τοῖς νέοις τῶν ἀνθρώπων οἵ τε πυρετοὶ καὶ αἱ παραφροσύναι μᾶλλον γίνονται διὰ τὸ χολῶδες καὶ θερμὸν τῆς κράσεως. [16]

18b 263 εἰκότως οὖν ἀπόλλυνται θᾶσσον ἢ ἐκπυῆσαι τὰ ὦτα. τοῖς δὲ πρεσβυτέροις ὅσον μὲν ἐπὶ τούτοις ἧττον ὑπάρχει κινδυνεύειν, ὑποστροφαὶ δὲ αὐτοῖς γίνονται τῶν παθημάτων, ὅτι μὴ τελέως ἐκπέττεται διὰ τὴν ψυχρότητα τῆς κράσεως ὁ τὴν ὀδύνην ἐργαζόμενος χυμός. τὰ δ' ἄλλα τῆς ῥήσεως ἱκανῶς ἐστι σαφῆ. Φάρυγξ δὲ ἑλκουμένη σὺν πυρετῷ δεινό ν , ἀλ λ ' ἥν τι καὶ ἄλλο σημεῖον ἐπιγένηται τῶν προκεκριμένων πονηρῶν εἶνα ι , προλέγει ν , ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπο υ . Ἡ ἑλκουμένη φάρυγξ σημεῖόν ἐστι κακοχυμίας διαβρωτικῆς, αἴτιον δὲ δυσκολίας οὐ σμικρᾶς διὰ τὸ μετὰ πόνου καταπίνειν. ἐπιβλέπειν οὖν χρὴ καὶ τὰ ἄλλα σημεῖα πρὸς ἀκριβεστέραν γνῶσιν τοῦ γενησομένου. [11]

18b 264 κοινὸν δ' ἐπὶ πάντων ἔστω σοὶ παράγγελμα, μάλιστα δ' ἐπὶ τῶν μήτ' ἀκριβῶς ἀρίστων μήτε χειρίστων, ἐφ' ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης εἴωθεν ἀξιοῦν συνεπισκέπτεσθαι καὶ τὰ ἄλλα σημεῖα. Αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι καὶ τάχιστα ἀναιροῦσι ν , ὁκόσαι μή τ ' ἐν τῷ αὐχένι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μή τ ʼ ἐν τῇ φάρυγγι ἔκδηλον μηδὲν ἐμποιέουσι πλεῖστόν τε πόνον παρέχουσι καὶ ὀρθόπνοια ν . αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι καὶ δευτεραῖαι καὶ τριταῖαι καὶ τεταρταῖα ι . Ὅτι φάρυγγα τὴν προκειμένην χώραν στομάχου τε καὶ λάρυγγος ὀνομάζει, δῆλόν ἐστι κἀξ ὧν νῦν ἔγραψεν, ἐκείνας τὰς κυνάγχας δεινοτάτας εἶναι λέγων, ὅσαι μή τ ʼ ἐν τῇ φάρυγγι μήτε κατὰ τὸν αὐχένα διάθεσίν τινα παρὰ φύσιν ἐνδείκνυνται, κατὰ χροιάν τε καὶ θερμότητα καὶ ὄγκον. αὐχένα μὲν γὰρ τὸν τράχηλον λέγει, φάρυγγα δὲ τὴν ἐν τῷ διανοῖξαι τὸ στόμα καὶ πιλῆσαι τὴν γλῶτταν κάτω φαινομένην εὐρυχωρίαν, ἐν ᾗ τὰ δύο στόμιά ἐστι, τό τε τοῦ στομάχου καὶ τὸ τοῦ λάρυγγος. [10]

18b 265 ὅταν οὖν ἐν μηδετέρῳ τούτων ἐπίδηλον ᾖ τι παρὰ τὸ κατὰ φύσιν, ἡγεῖσθαι χρὴ τῶν ἔνδον τοῦ λάρυγγος σωμάτων εἶναι φλεγμονήν, ἐφ’ ᾗ πνίγονται. στενῆς δ’ οὔσης φύσει τῆς ὁδοῦ τοῦ πνεύματος ἀναγκαῖόν ἐστι πνίγεσθαι κλειομένης αὐτῆς τελέως διὰ τὴν φλεγμονὴν τῶν περιεχόντων σωμάτων. ἀναγκάζονται τοιγαροῦν ὀρθοῦντες τὸν τράχηλον ἀναπνεῖν ὑπὲρ τοῦ διοῖξαι κἂν ἐπὶ βραχὺ τὸν πόρον. αἱ γὰρ ὕπτιαι κατακλίσεις αὐτὸν ἐσχάτως ἀποκλείουσι καταπιπτόντων μᾶλλον τῶν πρόσω σωμάτων, ὡς ἐπὶ τοὺς τοῦ τραχήλου σπονδύλους. διά τε οὖν τοῦτο καὶ ὅτι φλεγμαίνουσιν οἱ κατὰ τὸν λάρυγγα μύες εἰκότως ὀδυνῶνται. Ὁκόσαι δὲ ταῖς μὲν ἄλλαις παραπλησίως πόνον παρέχουσι ν , ἐπαίρονται δὲ καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσι ν , ὀλέθριαι μὲν κάρτ α , χρονιώτεραι δ ʼ ὀλίγον τῶν πρόσθε ν . [12]

18b 266 Δευτέρας διαφορᾶς μέμνηται κυνάγχης, ἐν ᾗ συνεπαίρεται μὲν τὰ κατὰ τὸν αὐχένα καὶ ἡ φάρυγξ ἐρυθαίνεται, πονοῦσι δ’ ὁμοίως τοῖς προειρημένοις, οὐ μὴν ὀρθόπνοιά τις αὐτοῖς ἐστιν, ὅπερ ἔστιν οὐ δυσπνοοῦσι σφοδρῶς, ὅτι μηδὲ φλεγμαίνουσιν ἰσχυρῶς οἱ κατὰ τὸν λάρυγγα μύες. εἰκότως οὖν αὐτὰς ὀλεθρίας εἶναί φησιν, οὐ μὴν ὁμοίως ταῖς πρὸ αὐτῶν ἀναιρεῖν ὀξύταται. Οἷσι δὲ συνεξερευθείη ἡ φάρυγξ καὶ ὁ αὐχή ν , αὗται χρονιώτεραι καὶ μάλιστα ἐξ αὐτέων περιγίνοντα ι , ἢν ὁ αὐχήν τε καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας ἔς ω . Τρίτην ταύτην ἑρμηνεύει κυνάγχης διαφοράν, ἣν ἔνιοι διὰ τοῦ c γράμματος ὀνομάζουσι συνάγχην, οὐ διὰ τοῦ κ κυνάγχην. [12]

18b 267 ἐφ’ ᾗ γὰρ ἰσχυρῶς μὲν πνίγονται καὶ ὀδυνῶνται, φαίνεται δ’ οὐδὲν οὔτε φλεγμονῶδες οὔτ’ ἐρυσιπελατῶδες ἤτοι κατὰ τὸν τράχηλον ἢ τὴν φάρυγγα, κυνάγχην διὰ τοῦ κ τὴν τοιαύτην διάθεσιν ὀνομάζουσιν. ἀλλ’ ὅπερ ἀεὶ λέγων εἰμί, φαίνεται καὶ ὁ Ἱπποκράτης ποιῶν, οὐ μικρολογούμενος ἐν ὀνόμασιν, ὡς δ’ ἂν ἐπέλθοι καλῶν. ἀμέλει καὶ γέγραπται κατά τινα τῶν παλαιῶν ἀντιγράφων ἡ ἀρχὴ τῆς ῥήσεως διὰ τοῦ c γράμματος “αἱ δὲ συνάγχαι”, ᾧ καὶ δῆλον, ὡς οὐδὲν ὠφελεῖ τὸ περὶ τοῦ κ καὶ c διαφέρεσθαι, καθάπερ οἱ νεώτεροι πράττουσι τῶν ἰατρῶ ν. ὅπου γὰρ ὡμολόγηται τὸ πρᾶγμα, μάταιόν ἐστι τὸ περὶ τῶν ὀνομάτων ἐρίζειν. ὡμολόγηται δὲ τὸ πρᾶγμα τοῖς γινώσκουσι τὰ τῆς τέχνης ἔργα. τῶν γὰρ ἰσχυρῶς πνιγομένων ὡς ἀνακαθίζειν ἀναγκάζεσθαι χείριστα διάγουσιν οἱ σφοδρῶς μὲν ὀδυνώμενοι, μηδὲν δ’ ἔχοντες ἐν τῷ τραχήλῳ καὶ τῇ φάρυγγι σύμπτωμα. [10]

18b 268 τούτων δ’ ἐφεξῆς οἱ μὴ δυσπνοοῦντες μέν, ὀδυνώμενοι δὲ σφόδρα μετὰ τοῦ συνεξῆρθαι μὲν αὐτοῖς τὸν τράχηλον, ἐρυθροτέραν δὲ φαίνεσθαι τὴν φάρυγγα. τρίτοι δ’ ἐπ’ αὐτοῖς εἰσι, περὶ ὧν κατὰ τὴν προκειμένην ῥῆσιν ὁ Ἱπποκράτης διῆλθεν, οἱ μήτ’ ὀδυνώμενοι μήτε δυσπνοοῦντες σφοδρῶς ἀπαθοῦς μὲν αὐτοῦ διαμένοντος τοῦ λάρυγγος ἤτοι δ’ εἰς τὴν φάρυγγα τοῦ ῥεύματος ἢ εἰς τὸν τράχηλον ἢ εἰς ἄμφω ταῦτα τραπέντος. ἔστι δὲ τοὐπίπαν τὸ ῥεῦμα τοῦτο χολωδέστερον, ὡς ἤτοι γε ἄντικρυς ἐρυσίπελας ἢ φλεγμονὴν ἐρυσιπελατώδη ποιεῖν, ὅθεν καὶ αὐτὸς ἔφη ἢν μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας εἴς ω. φλεγματῶδες δὲ εἴ ποτ’ αὐτοῖς γένοιτο τὸ οἴδημα, τάχιστα θεραπεύεται κατὰ τὴν ἀρχήν. οὐδὲ γὰρ τῶν ὀξέων εἰσὶ τὰ τοιαῦτα παθήματα. τὰ δ’ ἄλλα τῆς ῥήσεως δῆλα. Ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμοισιν ἀφανίζηται τὸ ἐρύθημα μήτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φύματος συστραφέντος ἐν τῷ ἔξω χωρίῳ μήτε πῦον ῥηϊδίως ἀποβήςς η , ἀπόνως δ ’ ἔχειν δοκέ ῃ , θάνατον σημαίνει ἢ ὑποστροφὴν τοῦ ἐρυθήματο ς . [12]

18b 269 Τὸ μὲν ἄνευ φύματος ἢ πτυσμάτων εὐπετῶς ἀναγομένων ἀφανισθῆναι τὸ ἐρυσίπελας ἢ τὸ ἔρευθος (ἑκατέρως γὰρ γέγραπται), πρόδηλον ὅπως ἔσται μοχθηρόν· τὸ δὲ μηδ’ ἐν ἡμέραις κρισίμοις ἄξιον ἐπισκέπτεσθαι πότερον οὕτως ἀκουστέον ἐστίν, ὡς ἂν ἐν κρισίμοις ἡμέραις ἀφανίζηται μηδενὸς ἐσομένου μοχθηροῦ σημείου αὐτῷ ἢ οὔ (ἐξηγήσαντο γὰρ αὐτὸ οὕτω τινές), ἢ συνάψαι χρὴ τοῦτο τοῖς ἐφεξῆς ὡς κἀκεῖνα βουλομένου τοῦ Ἱπποκράτους ἐν ἡμέρᾳ γενέσθαι κρισίμῳ χάριν τῆς βεβαίας πίστεως, ὅπερ ἀληθέστερόν ἐστιν. ἐὰν γὰρ ἐν κρισίμοις ἡμέραις ἡ μετάστασις εἰς τὸν πνεύμονα γένηται παλινδρομοῦντος ἔσω τοῦ ἐρυσιπέλατος οὐ διαφορουμένου κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, οὐ μόνον οὐκ ἀγαθόν ἐστι τὸ τοιοῦτον, ἀλλὰ καὶ μέγιστον κακόν, ἐκ τοῦ τῆς ἡμέρας πιστοῦ τὸ βέβαιον τῆς κακίας προσλαμβάνον. εἰ δὲ μετὰ τοῦ φῦμα μὲν ἐκτὸς γενέσθαι ῥᾳδίως δ’ ἀποβήττειν, ἀπόλλυται τὸ ἐρυσίπελας ἢ τὸ ἐρύθημα. [10]

18b 270 τηνικαῦτα θάνατον οὐκέτι προσδοκᾶν χρὴ τῷ κάμνοντι γενέσθαι. Ἀσφαλέστατον δὲ τὸ ἐρύθημ α , ὡς μάλιστα ἔξω τρέπεσθα ι . Καὶ ταῦτα καὶ τὰ τούτων ἐφεξῆς δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν. Οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι καὶ ἀποτέμνεσθαι καὶ ἀποσχάζεσθα ι , ἔς τ ’ ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλο ι . καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμορραγία ι . ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρᾶσθαι κατισχναίνειν ἐν τούτῳ τῷ χρόν ῳ . [10]

18b 271 ὁπόταν δὲ ἀποκριθῇ πᾶ ν , ὃ δὴ σταφυλὴν καλέους ι , καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερέ ς , τὸ δ ’ ἀνωτέρω λεπτότερον ἐν τούτῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζει ν . ἄμεινον δὲ καὶ ὑποκενώσαντα τὴν κοιλίην τῇ χειρουργίᾳ χρῆσθα ι , ἢν ὅ τε χρόνος συγχωρέῃ καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπο ς . Προγνωστικῷ θεωρήματι μέμικται θεραπευτικόν τι σμικρόν, οὗ χωρὶς οὐχ οἷόν τε ἦν ἀσφαλῶς διδαχθῆναι τὸ προγνωστικόν. τοὺς γάρτοι γαργαρεῶνας εἰ φλεγμαίνοντας ἀποτέμνοις ἢ ἀποσχάζοις, ἀκολουθήσουσιν αἱμορραγίαι τε καὶ φλεγμοναί· ὅταν δ ’ ἀποκριθ ῇ , ὃ δὴ σταφυλὴν καλοῦς ι , καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερέ ς , τὸ δὲ ἄνω λεπτότερο ν , ἐν τούτῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν καὶ μάλιστα τῆς κοιλίας προυπελθούσης δαψιλῶς εἴτ’ οὖν αὐτομάτως εἴτε κατὰ πρόνοιαν τοῦ ἰατροῦ. Οἷσι δ ’ ἂν οἱ πυρετοὶ παύσωνται μήτε σημείων γενομένων λυτηρίων μή τ ’ ἐν ἡμέρῃσι κρισίμοισι ν , ὑποστροφὴν προσδέχεσθαι χρὴ τούτοισι ν . [16]

18b 272 Ὅταν μηδέτερον ὧν εἶπε γένηται, τότε χρὴ προσδέχεσθαι τὴν ὑποστροφήν, οὐχ ὅταν τὸ μὲν ἕτερον αὐτῶν γένηται, τὸ δ’ ἕτερον μή. τὰ γὰρ ἀλόγως ῥᾳστωνήσαντα φιλυπόστροφα, κἂν ἐν κρισίμοις ἡμέραις γένηται τοῦτο. δῆλον δ’ ὅτι ταῦτ’ ἀλόγως ῥᾳστωνῆσαι λέγοιτ’ ἄν, ὅσα μήτε μετὰ σημείων λυτηρίων μήτ’ ἐν κρισίμοις ἡμέραις ἔδοξε πεπαῦσθαι. Ὅστις δ ’ ἂν τῶν πυρετῶν μηκύνῃ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονὴν μήτε δ ι ’ ἄλλην τινὰ πρόφασιν ἐμφανέα μηδεμία ν , τούτῳ προσδέχεσθαι ἀπόστασιν με τ ’ οἰδήματός τε καὶ ὀδύνης εἴς τι τῶν ἄρθρων καὶ οὐχ ἧσσον τῶν κάτ ω . Ἃ διὰ τῶν ἔμπροσθεν εἶπε κατὰ μέρος περὶ πρώτων μὲν τῶν καθ’ ὑποχόνδρια, δευτέρων δὲ τῶν κατὰ θώρακα καὶ πνεύμονα, ταῦτα νῦν ἐπαναλαβὼν ἀπεφήνατο καθ’ ὅλου. [14]

18b 273 τριττῆς γὰρ οὔσης τῆς αἰτίας τοῦ μηκύνειν τοὺς πυρετούς (ἢ διά τι μόριον πεπονθὸς δυσιάτως ἢ διὰ χυμοὺς ὠμοὺς καὶ παχεῖς καὶ ἀπέπτους ἢ διά τι τῶν ἡμαρτημένων), ἐὰν μήτε μόριον ᾖ πεπονθὸς ἢ ἄλλο τι μηδὲν αἴτιον ἤτοι τοῦ κάμνοντος ἁμαρτάνοντος ἢ τῶν θεραπευόντων αὐτὸν ἢ διά τι τῶν ἔξωθεν, οἷον ὥραν, χώραν, κατάστασιν, οἴκησιν μοχθηράν, ὀχλήσεις, φροντίδας, λύπας, ἀπολείπεται τοῦτον ἐπὶ χυμοῖς ὠμοῖς καὶ δυσπέπτοις μηκύνειν. τούτους οὖν εἴωθεν ἡ φύσις εἰς τὴν τῶν ἀκυροτέρων μορίων ἀποτίθεσθαι χώραν, ὅταν μὴ δυνηθῇ δι’ ἐκκρίσεως ἔξω τοῦ σώματος ἀπώσασθαι. λέλεκται γὰρ ἤδη πολλάκις ὡς οἱ θερμότεροί τε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεπτότεροι ταῖς σωματικαῖς οὐσίαις χυμοὶ πρὸς τὰς ἐκκρίσεις εἰσὶν ἐπιτηδειότατοι, τοὺς δ’ ὠμοὺς καὶ παχεῖς ἤτοι δι’ ἀποστάσεως ἢ κατὰ σύμπεψιν ἡ φύσις ἰᾶται. [10]

18b 274 καὶ αὐτὸ δὲ τοῦτο τὸ κατὰ σύμπεψιν ἔκκρισίς τίς ἐστι δι’ οὔρων γινομένη τὰ πολλά, σπανίως δέ ποτε καὶ κατὰ γαστέρα. Μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριήκοντα ἐτέω ν . Εἴρηται πολλάκις, ὡς αἱ μὲν ἐκ θερμοτέρων χυμῶν νόσοι μετὰ τῆς τοῦ κάμνοντος δυνάμεως ἰσχυροτέρας δι’ ἐκκρίσεως κρίνονται. ταύταις δ’ εἰσὶν ἐναντίαι διαθέσεις, ἐφ’ ὧν ἥ τε δύναμις ἀσθενὴς οἵ τε χυμοὶ ψυχροί, μήτ’ ἐκκρίσει μήτ’ ἀποστάσει κρινόμεναι, ἀλλ’ ἤτοι διαφθείρουσαι τοὺς κάμνοντας ἢ χρόνῳ παμπόλλῳ μόλις πεττόμεναι. μέσαι δ’ ἀμφοῖν εἰσιν αἱ δι’ ἀποστάσεως κρινόμεναι, καθ’ ἃς τῶν εἰρημένων ἀντιθέσεων δυοῖν τὸ μὲν ἕτερον ἐκ τῆς ἑτέρας ἐστί, τὸ δ’ ἕτερον ἐκ τῆς λοιπῆς. αἱ μὲν γὰρ ἀντιθέσεις αἱ δύο κατὰ μὲν τὴν τῶν χυμῶν φύσιν ἐστὶν ἡ ἑτέρα, κατὰ δὲ τὴν δύναμιν ἡ ἑτέρα, καθ’ ἑκάτε ρον δὲ αὐτῶν ἀλλήλοις ἀντίκεινται δύο, κατὰ μὲν τὴν τῶν χυμῶν οἱ θερμοὶ τοῖς ψυχροῖς, κατὰ δὲ τὴν τῆς δυνάμεως ἡ ἀσθενὴς τῇ ἰσχυρᾷ. [10]

18b 275 ἐὰν μὲν οὖν οἱ χυμοὶ θερμοὶ τύχωσιν ὄντες, οὐ χρὴ τὴν δύναμιν ὑπάρχειν ἰσχυράν, εἰ μέλλει γενήσεσθαί τις ἀπόστασις, εἰ δὲ ψυχροί, δυνάμεως ἰσχυρᾶς αὐτοῖς δεῖ πρὸς τὰς ἀποστάσεις. ἡ διάγνωσις δὲ τῆς δυνάμεως ἡ μὲν οἰκειοτάτη καθ’ ἑκάστην αὐτῶν εἴρηται πρόσθεν ἀπὸ τῶν ἐνεργειῶν, ἡ δ’ ἀπὸ τῆς ἡλικίας κατὰ νεότητά τε καὶ γῆράς ἐστι, περὶ ἧς νῦν ὁ Ἱπποκράτης διορίζεται καί φησι μᾶλλον δὲ γίνεσθαι καὶ θᾶσσον τὰς τοιαύτας ἀποστάσεις τοῖς νεωτέροις ἐτῶν τριάκοντα, τοῖς δὲ τούτων πρεσβυτέροις, οὐ μὴν ἤδη που γέρουσιν ἧττόν τε γίνονται καὶ χρόνῳ πλείονι. τοῖς δὲ γέρουσιν ἥκιστα γίνονται μεμνημένων ἡμῶν τῆς ἀρχῆς ὅλου τοῦ λόγου, καθ’ ὃν ὁ Ἱπποκράτης εἶπεν “ὅστις δ’ ἂν τῶν πυρετῶν μηκύνῃ περιεστικῶς τοῦ ἀνθρώπου διακειμένου μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονὴν μήτε δι’ ἄλλην πρόφασιν ἐμφανέα”. τούτων οὖν ἡμᾶς ἀναμιμνῄσκων ἔφη τὰς τοιαύτας ἀποστάσεις γίνεσθαι τοῖς νεωτέροις μᾶλλον. Ὑποσκέπτεσθαι δὲ χρὴ τουτέοισιν εὐθέως τὰ περὶ τῆς ἀποστάσιο ς , ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλ ῃ . [17]

18b 276 Καὶ διὰ τῶν ἔμπροσθεν ἤδη περὶ τῶν χρονιζόντων νοσημάτων διαλεγόμενος ἐμνημόνευσε τῆς εἰκοστῆς ἡμέρας ὡς ἄχρι ταύτης μηδέπω χρονίων ὑπαρχόντων αὐτῶν. εἴρηται δὲ πρόσθεν ἡ αἰτία τοῦ μὴ δύνασθαί τινα βέβαιον ὅρον ἕνα θέσθαι νοσημάτων ὀξέων, ὥστε οὐδὲν θαυμαστόν ἐστιν ἐν τεσσαρεσκαίδεκά τε λέγειν αὐτὸν ἡμέραις κρίνεσθαι τὰ ὀξέα τῶν νοσημάτων αὖθίς τε τῆς εἰκοστῆς μνημονεύειν. καὶ γὰρ καὶ κατὰ τοὺς Ἀφορισμούς, ἔνθα τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ὅρον ἔσχατον ἔθετο τῆς τῶν ὀξέων νοσημάτων κρίσεως, ἐμνημόνευσε καὶ τῆς ἑπτακαιδεκάτης. ἔστι δὲ ἀρχὴ μὲν ἐκείνου τοῦ ἀφορισμοῦ “τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι”, τελευτὴ δέ “θεωρητὴ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης”. Τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνονται πολυχρονιωτέρου ἐόντος τοῦ πυρετο ῦ . [15]

18b 277 Δεόντως, ἐπειδὴ καὶ τοῖς ἀποστάσει τινὶ μέλλουσι κρίνεσθαι τὴν δύναμιν τόνον ἔχειν τινὰ προσήκει καὶ μὴ παντάπασιν εἰς ἐσχάτην ἀτονίαν καταπεπτωκέναι. διὰ τοῦτ’ οὖν, εἰς ὅσον ἂν ἡλικίας προήκοιεν, τὰς ἀποστάσεις ἧττον γενέσθαι συμβαίνει, τοῖς γέρουσι δ’ οὐχ ἧττον, ἀλλ’ ὡς ἥκιστα. νυνὶ δ’ οὐ τοὺς γέροντας ἁπλῶς εἶπεν, ἀλλὰ τοῖς τριακονταετέσι παραβάλλων γεραιτέρους ὠνόμασε τοὺς τούτων πρεσβυτέρους. ὅτι δ’ οὕτω χρῆται τῇ τοῦ γεραιτέρου προσηγορίᾳ, καὶ διὰ τῶν ἔμπροσθεν ἐδείχθη καὶ διὰ τῶν ἐφεξῆς οὐδὲν ἧττον φαίνεται. Χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι ξυνεχέος ἐόντος τοῦ πυρετοῦ · ἐς δὲ τεταρταῖον καταστήσεσθα ι , ἢν διαλείπῃ τε καὶ ἐπιλαμβάνῃ πεπλα νημένον τρόπον καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ πελάς ῃ . [10]

18b 278

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εἴρηται κἀν τοῖς Περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, ὡς ἐπὶ τῷ μελαγχολικῷ χυμῷ γίνονται τεταρταῖοι. λέλεκται δὲ καὶ περὶ τῆς γενέσεως τοῦ χυμοῦ τοῦδε διττῆς ὑπαρχούσης, ἔκ τε τοῦ παχέος αἵματος, ὅπερ ἀνάλογόν ἐστιν ἐν ταῖς φλεψὶ τῇ κατὰ τοὺς πίθους τῶν οἴνων τρυγὶ καὶ τῆς ξανθῆς ὑπεροπτηθείσης. αὕτη μὲν οὖν ἡ μέλαινα χολὴ τά τε ἄλλα κακοήθης ἐστὶ καὶ διαβιβρώσκει τὰ μόρια καθάπερ ἂν τύχοι πλείων ἀθροισθεῖσα, ἡ δ' ἑτέρα μέλαινα πρᾳοτέρα τε ταύτης ἐστὶ καὶ μάλιστα, ἐπειδὰν μήπω τύχῃ κεχρονικυῖα κατὰ τὸ ζῷον ἤ τινι θερμασίᾳ πλείονι παρὰ φύσιν ὡμιληκυῖα. τούτων οὖν οὕτως ἐχόντων ὅταν μὲν ὁ πυρετὸς ᾖ συνεχής, ὅπερ ἔστι μὴ παυόμενος εἰς ἀπυρεξίαν, εἰς τὰς προειρημένας ἀποστάσεις τρέπεται χρονίζων. ἐὰν δὲ διαλείπῃ (καὶ τοῦτο αὐτὸ μάλιστα γίνεται κατὰ τὴν τελευτὴν τοῦ θέρους), εἰκός ἐστι μεταπεσεῖσθαι τὴν νόσον εἰς τεταρταίαν περίοδον.

18b 279 ὅσον γὰρ τῶν χυμῶν ζέσαν ὥρᾳ θέρους ἐν συνεχέσι πυρετοῖς ἐτελεύτησεν εἰς μέλαιναν χολήν, ἐσβέσθη τρόπον τινὰ καὶ κατὰ τοῦτο τῆς πυρετώδους θερμότητος ὁ κάμνων ἀπηλλάγη καὶ μάλισθ' ὅταν ἱδρῶτες ἐπιγίνωνται. ἀλλ' ἐὰν μὴ φθάσῃ πως ἡ φύσις ἐκκρίνασα τὴν οἷον τέφραν τῶν ὑπεροπτηθέντων χυμῶν, αὐτὴ πάλιν μένουσα κατὰ τὸ σῶμα καὶ θερμαινομένη τινὰ σηπεδονώδη διάθεσιν ἐπικτᾶται καὶ τοῦθ' ὅταν αὐτῇ γένηται ζέσασα πυρετὸν ἤγειρεν. ἐφ' ᾧ πάλιν ἱδρῶτος γενομένου συνδιέπνευσε τούτῳ τὸ ζέσαν τῆς μελαίνης, εἶτ' αὖθις ἕτερον ὑπόλειμμα ζέσαν ἤγειρε πυρετόν. ἅτ' οὖν μήπω μίαν παντὸς τοῦ σώματος ἔχοντος διάθεσιν, ἀλλ' ἔν τισι μὲν μορίοις κινουμένης ἔτι τῆς μελαίνης, ἔν τισι δ' ἀκινήτου μενούσης, ἐν ἄλλοις δὲ σηπομένης ἢ ζεῖν ἀρχομένης, ἀτάκτους ἀναγκαῖον γίνεσθαι τοὺς πυρετούς. ὅταν δ' ἐν ἁπάσαις ταῖς φλεψὶν ἡ αὐτὴ διάθεσις γένηται, κρατούσης τῆς μελαίνης ὁ τεταρταῖος συνίσταται πυρετός, καὶ μάλισθ' ὅταν εἰς τὸ φθινόπωρον ἐκ τοῦ θέ ρους ἡ μεταβολὴ γινομένη τῆς μὲν ἔξω φορᾶς τε καὶ διαπνοῆς ἐπίσχῃ τοὺς χυμούς, ἔσω δ' ἀποστρέφῃ πρὸς τὸ βάθος, ἥν τινα διάθεσιν ὁ χειμὼν διαδεξάμενος ὡς ἂν ἐπιτείνων διὰ τὸ κρύος τὴν ἔσω φορὰν τῶν χυμῶν ἄχρι πάλιν ἑτέρας μεταβολῆς γενομένης ἐπὶ τὸ θερμότερον, ἐν ᾧ κατέλαβε νοσήματι, φυλάττει τὸ σῶμα.

18b 280 Ὥσπερ δὲ τοῖσι νεωτέροισι τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνοντα ι , οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριηκονταετέσι καὶ γεραιτέροις ι . Περὶ τῆς καθ' ἡλικίαν μεταβολῆς εἴρηται μὲν ἐπὶ πλέον ἑτέρωθι, διὰ κεφαλαίων δὲ νῦν εἰπεῖν ἀρκέσει. τὰ μὲν παιδία πλεῖστον ἔχει τὸν τοῦ αἵματος χυμὸν καὶ μόνον γε τοῦτον εἶχεν ἄν, ὅσον ἐπὶ τῇ κατὰ τὴν ἡλικίαν κράσει. πολλὰ δ' ἐσθίοντα καὶ μέντοι καὶ ἀτακτότερα ὑπάρχοντα ὑποτρέφει τι καὶ τῶν καλουμένων ὠμῶν χυμῶν.

18b 281 ὁπόταν δ' εἰς τὴν τῶν μειρακίων ἡλικίαν ἀφίκηται, τινὰ μὲν ἤδη καλῶς διαιτᾶται βελτίονος ἀγωγῆς εὐτυχήσαντα καὶ οὕτως αὐτοῖς αἷμα πλεονάζει μόνον, ἔνια δὲ τῶν μειρακίων πολὺ χεῖρον ἢ οἱ σμικροὶ παῖδες. καὶ τοίνυν καὶ νοσεῖ ταῦτα συνεχῶς τε ἅμα καὶ σφοδρῶς ἀθροίζοντα πλῆθος ὠμῶν χυμῶν. ἐφεξῆς δὲ τῇδε τῇ ἡλικίᾳ καὶ μάλιστα τοῖς κακῶς διαιτωμένοις ὁ πικρόχολος ὑποτρέφεται χυμός, ὥστε πλεονάζειν τούτοις οὐχ αἷμα μόνον, ἀλλὰ κἀκεῖνον ὅσπερ ὠχρά τε καὶ ξανθὴ χολὴ προσαγορεύεται, καὶ γίνεται τοῦτό τισι μὲν ἄχρι τριάκοντα ἐτῶν, ἐνίοις δὲ ἄχρι πέντε καὶ τριάκοντα. πρῶτος μὲν γὰρ ὅρος ἐστὶ τῆς ἐπὶ τὸ ψυχρὸν μεταβολῆς ὁ τῶν τριάκοντα ἐτῶν, ἔσχατος δὲ ὁ τῶν πέντε καὶ τριάκοντα. πολλοῖς δὲ τῷ μεταξὺ διά τε τὴν ἐξ ἀρχῆς φύσιν, ὅσα τε κατὰ τὰς περιστάσεις ἢ ἐθῶν ἢ προαιρέσεων διαφορὰς ὑπαλλάττεται, τὴν ἀκμαστικὴν ἡλικίαν περιέγραψε. διὰ τοῦτ' οὖν καὶ ὁ Ἱπποκράτης ἐνίοτε μὲν τοῦ τριακοστοῦ μνημονεύει, καθάπερ ἄρτι, πολλάκις δὲ πέμπτου καὶ τριακοστοῦ.

18b 282 τῷ γὰρ ἄλλας ἄλλοις γίνεσθαι μεταβολὰς οὐχ οἷόν τε ὁρίσαι βεβαίως ἓν ἐφ' ἅπασι μέτρον κοινόν, ἀλλὰ τούτου μὲν ἀεὶ μέμνησο λεγομένου καὶ πρόσθεν ἐν τῷ περὶ τῶν κρισίμων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμερῶν λόγῳ, μεμνημένος γε μὴν αὐτοῦ καὶ προσθεὶς τοῖς προειρημένοις οὐ χαλεπῶς εὑρήσεις τὴν αἰτίαν, ὧν κατὰ τήνδε τὴν ῥῆσιν ὁ Ἱπποκράτης ἔγραψεν. ὥσπερ γὰρ ἐν ταῖς ὥραις τοὺς ἐν τῷ θέρει θερμανθέντας ἐπὶ πλέον χυμοὺς καὶ ὡς ἂν εἴποι τις ζέσαντας ἀναγκαῖον ἦν γεννῆσαι τὸν μελαγχολικὸν χυμόν, ὃν διαδεξάμενον ἠθροισμένον ἐν τῷ σώματι τὸ φθινόπωρον ἅτε ψυχρὸν ὂν οὐκ ἐπιτρέπει διαπνεῖν ὁμοίως ἐκτὸς οὐδὲ κενοῦσθαι ῥᾳδίως, οὕτως ἐν ταῖς ἡλικίαις ἡ παρακμή, ὅσον ἐν τῇ ἀκμῇ ζέσαν τῶν χυμῶν εἰς μέλαιναν χολὴν μετέβαλε, τοῦτο δυσκόλως αὐτὴ διαφοροῦσα τοὺς τεταρταίους μᾶλλον ἐργάζεται πυρετούς. καὶ χρόνου γε πλείονος δεῖται τοῖς κατὰ τὴν ἡλικίαν ταύτην πρὸς τὸ καθαρθῆναι τὸ σῶμα τῆς τοιαύτης χολῆς, ὅθεν ἄχρι τοῦ γήρως ἐν τῷ μεταξὺ τὰ μελαγχολικὰ πάντα νοσήματα τοῖς μὲν μᾶλλον πλεονάζει, τοῖς δ’ ἧττον ἐλέφαντες, καρκίνοι, λέπραι, μελαγχολίαι καὶ τεταρταῖοι πυρετοί. [15]

18b 283 Τὰς δ ’ ἀποστάσιας εἰδέναι χρὴ τοῦ χειμῶνος μᾶλλον γινομένας χρονιώτερόν τε παυομένας ἧσσόν τε παλινδρομεούσα c . Τρεῖς ἀποφάσεις ἐποιήσατο περὶ τῶν ἀποστάσεων ὁ Ἱπποκράτης κατὰ τὸν ἐνεστῶτα λόγον, μίαν μὲν καὶ πρώτην, ὅτι γίνονται μᾶλλον ἐν χειμῶνι, δευτέραν δ’ ὅτι χρονιώτερον παύονται, καὶ τρίτην ὅτι παλινδρομοῦσιν ἧττο ν. ὅτι μὲν οὖν ἐν χειμῶνι γίνονται μᾶλλον, ὁ πλεονάζων ἐν αὐτῷ χυμὸς ἐνδείκνυται. λέλεκται γὰρ πρόσθεν ἤδη δι’ ἐκκρίσεων μὲν τοὺς θερμούς, δι’ ἀποστάσεων δὲ τοὺς ψυχροὺς κινεῖσθαι χυμούς. ὅτι δὲ καὶ χρονιώτερον παύονται, τήν τε τοῦ χυμοῦ φύσιν αἰτιατέον ἐστὶ καὶ τὴν τοῦ περιέχοντος ψυχρότητα. διαφορηθῆναι μὲν γὰρ δεῖ πάντως τὸν κατασκήψαντα χυμόν, ἵνα θεραπευθῇ τὸ ἀπό στημα. [10]

18b 284 δυσδιαφορητότεροι δ’ εἰσὶν οἱ παχεῖς καὶ ψυχροὶ καὶ μάλισθ’ ὅταν ᾖ καὶ τὸ περιέχον ψυχρόν. διὰ δὲ τὰς αὐτὰς αἰτίας καὶ παλινδρομοῦσιν ἧττον, ἐπειδὴ κίνησίν τινα τοῖς παλινδρομοῦσι προσεῖναι χρή, δυσκίνητοι δ’ οἱ ψυχροί. Ὅστις δ ’ ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι ἢ καρδιωγμὸς τουτέῳ προσγένητα ι , χολώδης ἔμετος παρέστα ι . ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ , ταχύτερον ἔτι ὁ ἔμετος παρέστα ι . ἢν δέ τι καὶ πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνο ν , κάρτα ταχέως ἐμεῖτα ι . Περὶ τῶν αὐτομάτως γινομένων ἐμέτων κρίσεως λόγῳ διδάσκει νῦν ὁ Ἱπποκράτη c. ἔστι δ’ αὐτῷ πρῶτος μὲν διορισμὸς ἀπὸ τοῦ μὴ θανατῶδες εἶναι τὸ νόσημα (κέκληκε δὲ περιεστικὸν οὐκ ὀλιγάκις τὸ τοιοῦτον), δεύτερος δὲ ἀπὸ τοῦ τὴν κεφαλὴν ἀλγοῦντι τῷ κάμνοντι προφαίνεσθαί τι πρὸ τῶν ὀφθαλμῶν ὀρφνῶδε c, ὅπερ σημαίνει τὸ μέλαν ἐξ ἀναθυμιάσεως χολῆς ἀκράτου ξανθῆς γινόμενον. [11]

18b 285 αὕτη γὰρ ἐπὶ πλέον θερμανθεῖσα καὶ ὡς ἂν εἴποι τις ὑπεροπτηθεῖσα μέλαιναν ἀναθυμίασιν οἷον λιγνύν τινα πρὸς τὴν κεφαλὴν ἀναπέμπει, δι’ ἣν αἱ κεφαλαλγίαι γίνονται. ὅσον δ’ ἂν αὐτῆς ἐπὶ τοὺς ὀφθαλμοὺς ἀφίκηται, θολερώτερον ἐργάζεται τὸ κατ’ αὐτοὺς ὑγρόν, λαμπρὸν φύσει καὶ καθαρὸν ὑπάρχον, ὡς γίνεσθαί τινα κατάστασιν ὁμοίαν τῇ περὶ τὸν καθαρώτατόν τε καὶ φανότατον ἀέρα, δεχόμενον ἐξαίφνης εἰς ἑαυτὸν ἤτοι καπνώδη τινὰ ἢ λιγνυώδη μελανότητα. ταύτης οὖν τῆς ἀναθυμιάσεως αἰσθανόμενον τὸ ἀπὸ ἐγκεφάλου παραγινόμενον εἰς τοὺς ὀφθαλμοὺς ὀπτικὸν πνεῦμα καθάπερ ἐπὶ τῶν ὑποχεομένων τὴν φαντασίαν ὧν εἶπεν ὀρφνωδῶν ἀποτελεῖ. γινομένης δὲ ἐνίοτε κἀκ τῶν τοῦ πνεύμονος τόπων ἀναθυμιάσεως τοιαύτης, διακρινοῦμεν αὐτὴν τῆς ἀπὸ στομάχου τῇ καρδιαλγίᾳ. πνεύμονα μὲν γὰρ οἱ τοιοῦτοι χυμοὶ λανθάνουσιν ἤτοι δυσαίσθητον ἢ παντελῶς ἀναίσθητον ὄντα. [15]

18b 286 τὸ δὲ τῆς γαστρὸς στόμα (καλεῖται δέ, ὡς ἴσμεν, τοῦτο καὶ καρδία) διὰ τὸ μέγεθος ὧν ἔχει νεύρων αἰσθητικῶν οὐδὲν λανθάνει τῶν καθ’ ἑαυτό. δακνόμενον οὖν ὑπὸ τοῦ πικροχόλου χυμοῦ τὸν καλούμενον οὕτω καρδιωγμὸν ἐργάζεται. διὸ καὶ χολώδης ἔμετος αὐτοῖς γίνεται. τοιοῦτον γάρ τι καὶ ὁ Θουκυδίδης ἐδήλωσεν, ἔνθα φησί “καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφε γε αὐτὴν καὶ ἀποκαθάρσεις χολῆς ὁπόσαι παρὰ τῶν ἰατρῶν ὠνομασμέναι εἰσὶν

ἐπήεσαν” τὸ γὰρ “ἀνέστρεφεν” ἐπὶ τῆς πρὸς ἔμετον ὁρμῆς εἶπεν εὐθέως γε καὶ καρδίαν ὀνομάσας τὸ στόμα τῆς γαστρός. διὸ δὴ καὶ τὰς δήξεις αὐτοῦ καρδιωγμοὺς καὶ καρδιαλγίας ὀνομάζουσιν. ἑτέρωθι δ’ Ἱπποκράτης ἔγραψε καὶ ὡς τὸ κάτω χεῖλος ἐπισημαίνει τοῖς οὕτως ἔχουσιν οὐχ ἡσυχάζον, ἀλλὰ διασειόμενόν πως, ἐπειδὴ δακνόμενος ὑπὸ τῆς χολῆς ὁ ἔνδον τοῦ στομάχου χιτὼν τὴν τοιαύτην λαμβάνει κίνησιν. ἐμάθομεν γὰρ ἐκ τῆς ἀνατομῆς ἕνα τοῦτον ὅλον εἶναι τὸν χιτῶνα συνεχῆ κατὰ πᾶν ἑαυτῷ τῆς θ’ ὅλης γαστρὸς καὶ τοῦ στομάχου καὶ γλώττης καὶ οὐρανίσκου καὶ ὑπερῴας ὅλου τε τοῦ στόματος.

18b 287 οὗτος οὖν αὐτός ἐστιν ὁ καὶ τὰ χείλη διασείων, ὅταν ὑπὸ δριμείας χολῆς ἠθροισμένης ἐν τῷ στόματι τῆς γαστρὸς δάκνηται. πέφυκε γὰρ ἐπιπολάζειν ὁ χυμὸς οὗτος ὑπὸ κουφότητος καὶ διὰ τοῦτ’ ἐπὶ τὸν στόμαχον ἀνέρχεται καταλιπὼν τὸν πυθμένα τῆς γαστρὸς ἐμεῖταί τε ῥᾳδίως. ἂν δὲ καὶ ῥῖγος ἐπιλάβῃ τηνικαῦτα τὸν ἄνθρωπον, ἔτι δὴ καὶ μᾶλλον ὁ ἔμετος οὐ θᾶττον μόνον, ἀλλὰ καὶ πλείονος ἔσται χολῆς, εἰωθότος ὡς τὰ πολλὰ τοῦ ῥίγους ἔμετον χολῆς ἐργάζεσθαι, καθότι κἀν τῷ περὶ αὐτοῦ δέδεικται λόγῳ. καὶ μὲν δὴ καὶ εἰ πίῃ τι καὶ φάγῃ κατὰ τὸν καιρὸν ἐκεῖνον ὁ ἄνθρωπος, ἔτι δὴ καὶ μᾶλλον ἐμεῖται ταχέως, ἐπειδὴ συνδιαφθείρεται τὰ ληφθέντα τῇ κατὰ τὴν γαστέρα χολῇ. Τούτων δ ’ οἷσιν ἂν ἄρξηται πόνος τῇ πρώτῃ ἡμέρ ῃ , τεταρταῖοι πιεζεῦνται μᾶλλον καὶ πεμπταῖο ι , ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσοντα ι . οἱ μέντοι πλεῖστοι αὐτέων ἄρχονται μὲν πονέεσθαι τριταῖο ι , χειμάζονται δὲ πεμπταῖοι μάλιστ α , ἀπαλλάσσονται δὲ ἐναταῖοι ἢ ἑνδεκαταῖο ι .

18b 288 οἳ δ ’ ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι καὶ τἄλλα κατὰ λόγον αὐτοῖσι τῶν πρόσθεν γένητα ι , εἰς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσο c . Τρεῖς διαφορὰς εἴρηκε κατὰ χρόνον ἀλγήματος κεφαλῆς καὶ τρεῖς προθεσμίας τῆς κρίσεως αὐτῶν. πρώτη μὲν οὖν ἐστι διαφορὰ τῆς κατὰ τὴν πρώτην ἡμέραν τοῦ νοσήματος ἀρχομένης κεφαλαλγίας, δευτέρα δὲ τῆς κατὰ τὴν τρίτην, τρίτη δὲ τῆς κατὰ τὴν πέμπτην, ἁπάσαις γε μὴν αὐταῖς κοινόν ἐστιν εἰς τὴν ἑβδόμην πως ἡμέραν, ἀφ’ ἧς ἤρξαντο τελευτᾶν. ἡ μὲν οὖν κατὰ τὴν πρώτην ἀρξαμένη τὴν ἑβδόμην αὐτὴν ἔχει κρίνουσαν, ἡ δὲ κατὰ τὴν τρίτην, ὅσον ἐπὶ τῷ τῆς ἑβδόμης ἀριθμῷ τὴν δεκάτην. ἐπεὶ δ’ οὐκ ἔστιν αὕτη κρίσιμος, εἰς τὴν ἐνάτην ἢ ἑνδεκάτην ἡ κρίσις ἀφικνεῖται τῆς ἑβδομαδικῆς προθεσμίας ἤτοι πρωϊαίτερον ἢ ὀψιαίτερον ἡμέραν μίαν. καί μοι μέμνησο πάλιν, ὅτι καὶ τῆς ἐνάτης ἡμέρας ὡς κρινούσης ἐμνημόνευσε νῦν καθάπερ καὶ πρόσθεν, ὡς ἔδειξα, τῆς τρίτης, οὐ κατὰ τετράδων ἢ ἑβδομάδων περίοδον ἐχουσῶν τὸ κρίνειν, ἀλλὰ τῷ λόγῳ τῶν παρεμπιπτουσῶν, ὡς ἐν τοῖς Περὶ κρισίμων ἐδείχθη.

18b 289 καὶ μὲν δὴ καὶ ἡ τρίτη διαφορὰ τῆς κεφαλαλγίας ἡ κατὰ τὴν πέμπτην ἡμέραν ἀρχομένη μέχρι τῆς τεσσαρεσκαιδεκάτης ἐκτείνεται διά τε τὸ μὴ πάνυ θερμή τις εἶναι καὶ κατεπείγουσα. δηλοῖ δὲ ἐκ τοῦ κατὰ τὴν πέμπτην ἡμέραν ἄρξασθαι καὶ διὰ τὸ τῆς ἑβδομάδος προστεθείσης ταῖς πρώταις πέντε τὰς πάσας γίνεσθαι δυοκαίδεκα, κρίσιμον δ’ οὐκ εἶναι τὴν δωδεκάτην, οὐ μὴν οὐδὲ προλαβεῖν οἷόν τ’ ἐστιν αὐτὴν μίαν ἡμέραν. ἐδείχθη γὰρ τοῦτο τῶν ὀξύτατα κινουμένων ἴδιον. εἰκότως οὖν εἰς τὴν τεσσαρεσκαιδεκάτην ἐξέπεσε. Γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶν ἐν τοῖσι τριταίοισι μάλιστ α . τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ ἐν τουτέοις ι , μάλιστα δὲ ἐν τοῖσι συνεχεστέροισι πυρετοῖσι καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι ν . Τοῖς μὲν ἤδη τελείοις, ἐφ’ ὧν εἴωθε φέρειν τὴν τῶν ἀνδρῶν καὶ γυναικῶν προσηγορίαν, ἐν πᾶσι τοῖς τριταίοις πυρετοῖς γίνεται τὰ τοιαῦτα διὰ τὸ χολωδεστάτην εἶναι τὴν ἡλικίαν, τοῖς δὲ νεωτέροις αὐτῶν οὐκ ἐν πᾶσιν, ἀλλὰ μόνοις τοῖς ἀκριβέσι τριταίοις, οἵπερ εἰσὶ χολωδέστατοι.

18b 290 γίνεται δὲ κἀν τοῖς ὀξυτάτοις νοσήμασι (χολωδέστατα γὰρ καὶ ταῦτα) καὶ δηλονότι καὶ τοῖς τελείοις πολλῷ μᾶλλον. ἀκόλουθον γὰρ τοῖς προειρημένοις ὂν τοῦτο οὐδὲ προσέγραψεν ὡς καὶ πρὸς ἡμῶν νοεῖσθαι δυνάμενον. Οἷσι δ ’ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι ἀμβλυωγμὸς γίνηται ἢ μαρμαρυγαὶ προφαίνωντα ι , ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ ἢ ἐπὶ δεξιὰ ἢ ἐ π ’ ἀριστερὰ συντείνηταί τι μήτε σὺν ὀδύνῃ μήτε σὺν φλεγμον ῇ , αἷμα διὰ τῶν ῥινῶν ῥυῆναι τούτοισι προσδόκιμον ἀντὶ τοῦ ἐμέτο υ , μᾶλλον δὲ ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθα ι , τοῖσι δὲ τριηκονταετέσι καὶ γεραιτέροισιν ἧσσο ν , ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθα ι .

18b 291 Τοιουτότροπον εἴρηκε πυρετὸν οἷον κατὰ τὴν ἀρχὴν τοῦ λόγου διὰ τῆσδε τῆς λέξεως ἐδήλωσεν “ὅστις δ’ ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν.” τοῦτ’ οὖν κοινὸν ἀμφοτέροις φυλάξας τοῖς πυρετοῖς, κοινὸν αὐτοῖς ἔτι ἔσεσθαι τὸ κριθῆναι δι’ ἐκκρίσεως ἔφη, ἴδιον δ’ ἑκατέρῳ προσέθηκε τῷ τῆς ἐκκρίσεως εἴδει χολώδη μὲν ἔμετον τῷ προτέρῳ, αἱμορραγίαν δὲ τῷ δευτέρῳ. τὰ δὲ τούτων δηλωτικὰ σημεῖα τῷ μὲν προτέρῳ τά τε φανταζόμενα θεάματα ὀρφνώδη καὶ τὸν καρδιωγμόν, τῷ δὲ δευτέρῳ ἀμβλυωπίαν τε καὶ μαρμαρυγὰς καὶ σύντασιν ἐν ὑποχονδρίῳ χωρὶς ὀδύνης καὶ φλεγμονῆς γνώρισμα μέγιστον τῆς ἄνω ῥοπῆς τῶν χυμῶν. εἰρήκει δὲ καὶ ἔμπροσθεν αἱμορραγίας ἑπομένας κρισίμως ταῖς καθ’ ὑποχόνδρια φλεγμοναῖς καὶ μᾶλλον τοῖς νεωτέροι ς, ἐφ’ ὧν αἷμα πλεονά ζει καὶ νῦν αὖθις αὐτό τε τοῦτο προσέγραψε καὶ ὡς οἱ χολώδεις ἔμετοι τοῖς ἀκμάζουσι γίνονται.

18b 292 κατὰ δὲ τὸ πρῶτον τῶν Ἐπιδημιῶν καὶ ‘δακρύειν ἀκουσίως‘ ἔφη ‘αἱμορραγήσειν μέλλοντας ἐκ ῥινῶν.‘ ταῦτ’ οὖν συνθεὶς πάντα ἔτι τε προσθεὶς αὐτοῖς ἃ δι’ ἑτέρων εἶπον, ἀεὶ προγνώσῃ γενησομένην αἱμορραγίαν καὶ μάλιστα, ἐὰν ἐναργῶς σοι φανῇ τότε τὸ κατὰ τοὺς σφυγμοὺς σημεῖον ἐκκρίσεως, ὃ πανταχοῦ προηγεῖται τῶν κρισίμων αἱμορραγιῶν. Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνοντα ι , ἢν ὅ τε πυρετὸς ὀξὺς ᾖ καὶ ἡ γαστὴρ μὴ ὑποχωρέῃ ἀγρυπνέωσί τε καὶ ἐκπλαγέωσι καὶ κλαυθμυρίζωσι καὶ τὸ χρῶμα μεταβάλλωσι καὶ χλωρὸν ἢ πελιδνὸν ἴσχωσιν ἢ ἐρυθρό ν . γίνεται δὲ ταῦτα ἐξ ἑτοίμου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισιν εἰς τὰ ἑπτὰ ἔτε α , τὰ δὲ πρεσβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρες οὐκέ τ ’ ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκοντα ι , ἢν μὴ τῶν σημείων τι προσγένηται τῶν ἰσχυ ροτάτων τε καὶ κακίστω ν , οἷά περ ἐν τῇσι φρενίτισι γίνετα ι .

18b 293 Περὶ σπασμῶν αὐτῷ νῦν ὁ λόγος ἐστίν, οὐ τῶν ἐν ἑνὶ μέρει τοῦ σώματος γινομένων, ἀλλὰ τῶν ὅλον αὐτὸ καταλαμβανόντων, οἵ τινες ἐπὶ μὲν τῶν παιδίων ἑτοιμότατα γίνονται καὶ μᾶλλον ἐπὶ θηλαζόντων, οὐχ ἥκιστα δὲ καὶ δι’ αὐτὸ τὸ γάλα καὶ μᾶλλον, ὅταν ᾖ παχύ, καὶ ὅτι πλείστῃ τε χρῶνται καὶ ἀκαίρῳ τροφῇ μηδὲν τῶν κατὰ τὸν βίον ἄλλο περὶ πλεῖστον τιθέμενα πλὴν τοῦ ἐσθίειν. πᾶν γὰρ τὸ νευρῶδες αὐτῶν γένος ἀσθενές ἐστι. τριῶν γὰρ οὐσῶν κατὰ γένος δυνάμεων, ὑφ’ ὧν διοικεῖται τὸ σῶμα, ταῖς δυσὶ μέν ἐστιν ἰσχυρότερα τὰ παιδία τῶν ἄλλων, ἀσθενέστερα δὲ τῇ μιᾷ τῇ κατὰ τὰ νεῦρα, διὸ καὶ σπᾶται μὲν ἑτοιμότατα. πάλιν δὲ εἰς τὸ κατὰ φύσιν ἐπανέρχεται ῥᾳδίως. τοῖς δὲ τελείοις οὔτε γίνεται ῥᾳδίως οὔτε καθίσταται τὰ σπασμώδη πάθη διὰ τὴν ἰσχὺν τῆς κατὰ τὰ νεῦρα δυνάμεως.

18b 294 γίνεται μὲν οὖν σπασμὸς καὶ χωρὶς πυρετῶν ἐπὶ ταῖς πάνυ σφοδραῖς ψύξεσι καὶ πλήθει χυμῶν ἀπέπτων τε καὶ παχέων, ἔτι τε φλεγμοναῖς ἐν νεύροις καὶ τένουσιν ὅταν εἰς συμπάθειαν ἀγάγωσι τὴν ἀρχήν. ἀλλὰ νῦν ὁ λόγος αὐτῷ περὶ τῶν ἐν πυρετοῖς γινομένων σπασμῶν ἐστιν, ὥσπερ ἐξ ἀρχῆς ὑπέθετο διελθεῖν προγνώσεις ἐπί τε τῶν ὀξέων νοσημάτων καὶ ὅσα τούτων μεταπιπτόντων γίνεται. τοὺς οὖν ἐν τοῖς τοιούτοις νοσήμασι σπασμοὺς ἐπὶ μὲν τῶν ηὐξημένων ἐκεῖνα δηλώσει τὰ σημεῖα τὰ μάλιστα ταῖς χαλεπαῖς ἐπιφαινόμενα φρενίτισι καὶ μάλιστ’ αὐτῶν ὅσα διαστρεφομένων γίνεται τῶν ἐν τῷ προσώπῳ μορίων ἢ ὀδόντων πριομένων ἢ ὀφθαλμῶν ἀστηρίκτων ἢ διεστραμμένων. ἐπὶ δὲ τῶν παίδων ἀρκεῖ καὶ τὸ ἀγρυπνῆσαι μόνον, ἐνίοτε δὲ καὶ φοβηθῆναι σφοδρῶς, ὅπερ ὠνόμασεν ἐκπλαγῆναι, καὶ τὸ κλαῦσαι μετ’ ἐντάσεως σφοδροτέρας καὶ τὸ τὴν γαστέρα μὴ διαχωρῆσα ι. ταῦτα μὲν οὖν ὡς αἴτια, σημεῖα δὲ τοῦ σπασθήσεσθαι πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς τοιούτοις αἰτίοις τὰ παρὰ φύσιν χρώματα δη λοῦντα τῶν χυμῶν τὴν μοχθηρίαν, ἐφ’ οἷς εἴωθε σπᾶσθαι.

18b 295 χλωρὸν μὲν γὰρ ἢ πελιδνὸν μοχθηρὸν τῇ ποιότητι δηλοῖ τὸν χυμό ν , ἐρυθρὸν δὲ πλῆθος αἵματος ἐνδείκνυται. Τοὺς δὲ περιεσομένους τε καὶ ἀπολουμένους τῶν παίδων καὶ τῶν ἄλλων τεκμαίρεσθαι χρὴ τοῖσι σύμπασι σημείοισι ν , ὡς ἐ φ ’ ἑκάστοισιν ἕκαστα διαγέγραπτα ι . Τοῦτο καὶ πρόσθεν εἴρηκε καὶ νῦν ἀναμιμνήσκει καὶ μετ’ ὀλίγον αὖθις ἐρεῖ, διότι χρησιμώτατόν ἐστι καὶ ὅμως οὐκ ἀκούουσιν αὐτοῦ πολλοὶ τῶν ἰατρῶν, ἀλλ’ ἐνίοτε θεασάμενοί τι τῶν κακῶν σημείων, ἐφ’ ᾧ συνέβη ζῆσαι τὸν ἄνθρωπον, ἐπεγκαλοῦσιν ὡς ψευσαμένῳ, καθάπερ αὖθις ἀγαθῶν φανέντων ἀπολλυμένου τοῦ κάμνοντος οὐκ ἀληθεύειν φασὶ τὸν Ἱπποκράτην μηκέθ’ ὁρῶντες ὡς ἐνίοτε μὲν ὑπὸ πολλῶν ἀγαθῶν σημείων ἓν νικᾶται κακὸν ἰσχυρόν, ἐνίοτε δὲ ἔμπαλιν ὑπὸ πολλῶν κακῶν ἓν ἀγαθὸν ἰσχυρόν. Ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων καὶ ὅσα ἐκ τουτέων γίνετα ι .

18b 296 Καὶ τοῦτο καθάπερ καὶ τὸ πρότερον ἔγραψεν ὁ Ἱπποκράτης ἀπομαντευσάμενος τῆς ἀμελείας τε ἅμα καὶ προπετείας τῶν ἀναγνωσομένων αὐτοῦ τὰ βιβλία καὶ ζητησόντων ὅπως ἂν ἐν αὐτῷ μνημονεύῃ τεσσαρακοστῆς τε καὶ ἑξηκοστῆς ἡμέρας, ἐμπύων τε καὶ ὑδερικῶν καὶ τεταρταίων πυρετῶν. ὅπου γὰρ καὶ γράφαντος αὐτοῦ σαφῶς ὅτι μὴ περὶ μόνων τῶν ὀξέων, ἀλλὰ καὶ τῶν ἐκ μεταπτώσεως τούτων εἰς χρόνου μῆκος ἐκτεινομένων ὁ λόγος ἐν τῷ βιβλίῳ γέγονεν, ὅμως τοιαῦτα ζητοῦσι. τί ποτε ἔπραξαν ἄν, εἰ μηδὲ τοῦτο ἐποίησεν; Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τούς τε περιεσομένους καὶ ἀποθανουμένου c , οἷσι τε μέλλει τὸ νόσημα πλείονας ἡμέρας παραμένειν καὶ οἷσιν ἂν ἐλάσσονα c , τὰ σημεῖα ἐκμανθάνοντα πάντα κρίνειν ἐκλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλα c , ὥσπερ διαγέγραπται περί τε τῶν ἄλλων καὶ τῶν οὔρων καὶ τῶν πτυέλω ν , ὅταν ὁμοῦ τε πῦον καὶ χολὴν ἀναβήcc η .

18b 297 Ὅτι μὲν ἀεὶ χρὴ πάντα θεᾶσθαι τὰ σημεῖα καὶ μὴ πιστεύειν ἑνί, καὶ διὰ τῶν ἔμπροσθεν εἶπεν, ἀλλὰ νῦν γε προσέθηκε τὸ χρησιμώτατον τοῦ λόγου. φημὶ δ’ εἶναι τοῦτο τὸ τῶν σημείων τὰς δυνάμεις ἐκλογίζεσθα ι, οὐχ ἁπλῶς οὐδὲ ταύτας, ἀλλὰ μετὰ τοῦ παραβάλλειν ἀλλήλαις. ἔστι μὲν γὰρ ἔνια τῶν σημείων καὶ αὐτὰ καθ’ ἑαυτὰ μοχθηρὰ μᾶλλόν τε καὶ ἧττον, ὧν τὰς δυνάμεις ἐκμετρῆσαι χρὴ τοῖς ῥήμασιν, ὡς καὶ πρόσθεν ἐδείκνυεν, ἢ “θανατῶθες” εἰπὼν ἢ “θανατωδέστερον” ἢ “ὀλέθριον κάρτα” καί που καὶ προσθεὶς τὸ “ἤδη” κἀπὶ τῶν ἀγαθῶν πάλιν ὁμοίως ἢ “σωτήριον” ἢ “περιεστικὸν” ἁπλῶς ἢ “μεγάλην δύναμιν ἔχον” ἢ καὶ μετὰ τοῦ “κάρτα”. πλέον γάρ ἐστι τὸ φάναι τὸ “κάρτα με γάλην δύναμιν ἔχειν εἰς σωτηρίαν” ψιλοῦ καὶ μόνου τοῦ “μεγάλην δύναμιν ἔχειν”.

18b 298 Ἀλλὰ νῦν γε πρὸς ἀλλήλας φησὶ χρῆναι παραβάλλειν τὰς δυνάμεις οὐ τῶν ὁμογενῶν μόνων σημείων, οἷον ἀγαθῶν πρὸς ἀγαθὰ καὶ κακῶν πρὸς κακά, ἀλλὰ καὶ τῶν ἀγαθῶν πρὸς κακά. διὰ γὰρ τῆς παραβολῆς ταύτης καὶ τὰ παρὰ λόγον γινόμενα ᾐνίξατο. πρῶτον μὲν γὰρ γνωριοῦμεν, ὅτι παρὰ λόγον ἐγένετο, δεύτερον δ’ οὐ καταπλαγησόμεθα καὶ τρίτον ἐπισκεψόμεθα, διὰ τί γέγονεν ἢ τί δηλοῦν πέφυκεν. εἴρηται μὲν οὖν ἅπαντα ταῦτα κατὰ τὰς ἡμετέρας πραγματείας καὶ μάλιστα τὰς Περὶ κρίσεων. οὐ χεῖρον δὲ καὶ νῦν ἕνεκα παραδείγματος ἀναμνῆσαί τινων ἀπὸ κοινῆς ἀρχῆς ἀρξαμένους ἁπάσης τῆς προγνωστικῆς τέχνης. ἐπισκέπτεσθαι γάρ σε χρὴ πρῶτον ἁπάντων, εἴθ’ ἓν ἐξαιρέτως πέπονθε μόριον εἴτε τῶν ἐν τοῖς ἀγγείοις χυμῶν ἐστι τὸ νόσημα, δεύτερον δὲ κατὰ τίνα μάλιστα δύναμιν ὁ κίνδυνός ἐστι τῷ κάμνοντι (προείρηται δ’ ὅτι τρεῖς εἰσιν), εἶθ’ ἑξῆς τὰ τῆς δυνάμεως ἐκείνης ἀγαθά τε καὶ κακὰ γνωρίσματα.

18b 299 φέρε γὰρ ἀπαθῆ μὲν εἶναι τὴν ἀπ’ ἐγκεφάλου δύναμιν, ἀπαθῆ δὲ καὶ τὰ μόρια τοῦ σώματος, ἐπὶ τοῖς χυμοῖς δὲ μόνοις σηπομένοις ἔχοντος τὴν ὑπόθεσιν ὅλου τοῦ νοσήματος ὅπερ ἔστι πυρετώδους ὄντος, εἶτα τούτων οὕτως ἐχόντων ἀπ’ ἀρχῆς φαίνεσθαι πάντα ἐν τοῖς οὔροις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγαθὰ σημεῖα, τοῦτον τὸν ἄνθρωπον ἀδύνατον ἀποθανεῖν, ὥστε κἂν ἐπιφαίνηταί τι σύμπτωμα φοβερόν, οὐ μόνον οὐ καταπλαγήσῃ, καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν, ἀλλὰ καὶ κρίσεως αὐτὸ μηνυτικὸν ἡγήσῃ. καὶ γὰρ ὀδυνῶνται κεφαλὴν καὶ παρανοοῦσιν, ὀρφνώδη τε καὶ ξανθὰ βλέπουσι καὶ ἀμβλυώττουσι καὶ καρδιαλγοῦσι καὶ δυσπνοοῦσιν, ὑποχόνδριά τε συντείνονται λόγῳ κρίσεως, αὖθις δὲ διαχωρήματα κακοήθη καὶ πτύσματα καί τινες ἔμετοι γινόμενοι καὶ μόρια μελαινόμενα καὶ σηπόμενα καὶ νεκρούμενα τὸν ἄνθρωπον ἀποφαίνει κατὰ πάντα βελτίω. καὶ γὰρ εὐπνούστεροι καὶ εὐορεκτότεροι καὶ εὐϋπνότεροι καὶ ἀνωδυνότεροι καὶ κατὰ τὰς ἐξαναστάσεις κουφότεροι καὶ τὸ σύμπαν εὐφορώτεροι πολλάκις ἐπὶ ταῖς τοιαύταις ἀποκρίσεσιν οἱ κάμνοντες ἐγένοντο, φανερῶς ἐνδεικνυμένων τῶν κενουμένων ἐκκαθαίρεσθαι τὸ σῶμα, τῆς φύσεως ἐκ παραδόξου τὴν ἔμπροσθεν ἧττταν ἀναμαχομένης.

18b 300 ἅπαντα δὲ ταῦτα δυνάμει προείρηταί τε καὶ διώρισται κατὰ τὸ βιβλίον τοῦτο καὶ μόνα τὰ περὶ τῶν σφυγμῶν αὐτοῖς σε χρὴ προσθεῖναι γεγραμμένα πρὸς ἡμῶν ἐν τῇ Περὶ τῶν σφυγμῶν πραγματείᾳ σαφῶς πάντα μηδαμόθι παρεγκειμένων Σφιγγὸς αἰνιγμάτων, οἷα μυρία γεγράφασιν οἱ περὶ τὸν Ἀρχιγένη ν. ταῦτ᾽ οὖν ἅπαντα πρόχειρα τῇ μνήμῃ φυλάττων ἐπίβλεπε παραβάλλων ἀλλήλοις· ἐξ αὐτῶν γὰρ δυνήσῃ προλέγειν καὶ τὰ παραλειπόμενα πρὸς τῶν ἀρρώστων ἐνίοτε μηδ᾽ αὐτοῖς τοῖς οἰκείοις αὐτῶν ἀκριβῶς γινωσκόμενα, ὡς ἐμὲ πολλάκις ἐθεάσασθε τοῦτο μὲν ἐπὶ τῶν πριόντων τοὺς ὀδόντας εἰπόντα φύσει τὸ σύμπτωμα τοῦθ᾽ ὑπάρχειν αὐτοῖς, ὡς νομίσαι τοὺς ἀκούοντας οἰκείους οὐκ ἐξ ἰατρικῆς, ἀλλ᾽ ἀπὸ μαντικῆς τέχνης γεγονέναι τὴν πρόρρησιν, ἐνίοτε δ᾽ ἐπὶ τῶν κοιμωμένων παρηνεῳγμένοις τοῖς ὀφθαλμοῖς, ὅτι καὶ τοῦθ᾽ ὑπάρχει φύσει, καί τινος ἐπὶ γαστέρα κατακειμένου καὶ τοῦτ᾽ ἀναγκαῖον ὑπάρχειν αὐτῷ φύσει.

18b 301 γυναικὸς δέ τινος ὤφθη ποθ᾽ ἡμῖν εἰσελθοῦσιν ὁ δεξιὸς ὀφθαλμὸς ὑπερέχειν θατέρου παμπόλλῳ δή τινι, περὶ ἧς ἔφην ἔμπροσθεν γεγονέναι τῆς νόσου τὴν προπέτειαν. ἐπ᾽ ἄλλου δὲ κοιλότητα τῶν κροτάφων μεγίστην, ὁρωμένου κἀκείνου πρῶτον τότε κατὰ φύσιν ἔφην ὑπάρχειν αὐτήν, ἄλλου δ᾽ ὑφαίμους τοὺς ὀφθαλμοὺς εἶναι φύσει. παρεσπαρμένον δ᾽ ἐφ᾽ ἑτέρου μέρος ὀφρύων ἢ ὀφθαλμῶν ἢ χειλῶν, ἔνια δὲ καὶ πρὸ τοῦ νοσήματος ἔκ τινος ἔξωθεν αἰτίας γεγονέναι, καὶ μὲν δὴ καὶ διαλείποντα σφυγμὸν ἑτεροσφυξίαν τε καὶ τοιαῦτα ἕτερα φύσει τισὶν ὑπάρχειν εἶπον ἀγνοούμενα καὶ τοῖς κάμνουσιν αὐτοῖς ἐνίοτε καὶ σωθέντων αὐτῶν ὤφθησαν παραμένοντα καὶ φωνὰς τραχείας ἢ βραγχώδεις ἢ κλαγγώδεις τῷ μὲν φύσει, τῷ δὲ πρὸ τῆς νόσου γεγονυίας, περὶ ὧν ἐπὶ πλέον ἐν τῇ Περὶ τοῦ προγινώσκειν πραγματείᾳ διεληλυθὼς οὐδὲν δέομαι νῦν ἐπαναλαμβάνειν, ἀλλ᾽ ἀρκεῖ τὸ κεφάλαιον τῆς τῶν τοιούτων εὑρέσεως εἰπόντα καταπαῦσαι τὸν λόγον. ὅταν γὰρ ἐκ τῶν ἄλλων ἁπάντων ἀκίνδυνον φαίνηται τὸ νόσημα, τὸ τοιοῦτον φοβερὸν σύμπτωμα φύσει παρεῖναι γίνωσκε ἢ πάντως γε πρὸ τῆς νόσου γεγονέναι διὰ φανεράν τινα αἰτίαν, ὥστε καὶ ἐμοὶ καὶ Ἱπποκράτει πιστεύσαντες ἐπισκέπτεσθε, καθότι προείρηται, τὰς τῶν σημείων δυνάμεις ἐκλογιζόμενοι, καθάπερ, φημί, προεῖπεν.

18b 302 αὐτὸς γὰρ ἐμνημόνευσε τοῦ παραδείγματος “ὅταν ὁμοῦ τε πῦον ἀναβήσσῃ καὶ χολήν”. εἴρηται δ᾽ αὐτῷ τοῦτο κατά γε ἐκείνην τὴν ῥῆσιν, ἧς ἡ ἀρχὴ “τῶν δὲ ἐμπυημάτων ὅσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκονται, ὀλέθρια κάρτα”, εἴτ᾽ ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀποπτύοιτο εἴτε ὁμοῦ. κατὰ ταύτην γὰρ τὴν ῥῆσιν ἠξίωσε θεωρεῖν ἀκριβῶς ἅπαντα τὰ τῷ κάμνοντι συνυπάρχοντα καὶ διῆλθέ γε ἔνια αὐτῶν, τῶν μὲν ἀγαθῶν οὕτως ἀρξάμενος “ἔστι δὲ τὰ μὲν ἀγαθὰ ταῦτα· εὐπετέως φέρειν τὴν νοῦσον, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύελον ῥηιδίως ἀναβήσσειν.” εἶθ᾽ ἑξῆς αὐτὰ διελθὼν πάντα τῶν κακῶν αὖθις ἀρχόμενός φησι “κακὰ δὲ τὰ ἐναντία τούτων, δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυ κνὸν γίνεσθαι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον ἀναβήσσειν μόγις, διψῆν κάρτα, τὸ σῶμα ὑπὸ τοῦ πυρὸς ἀνωμάλως ἔχεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18b 303 ” αὕτη σοι καὶ ἡ τῶν μοχθηρῶν σημείων ἀρχὴ τῆς διδασκαλίας ἔμπροσθεν ὑπ’ αὐτοῦ γεγενημένης κατὰ τὴν προειρημένην ἐπὶ τῶν πτυσμάτων ὧν ἔγραψεν ὑπόθεσιν. “ὡς οὖν,” φησίν, “ἐπὶ τούτων εἶπον, οὕτως ἐπὶ πάντων πρᾶττε μηδὲν παραλείπων, ἀλλὰ κατὰ μέρος ἐκλογιζόμενος ἑκάστου σημείου τὴν δύναμιν, εἶθ’ οὕτως παραβάλλων ἀλλήλοις αὐτά.” Χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων ἀεὶ τῶν ἐπιδημεόντων ταχέως ἐνθυμέεσθαι καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάστασι ν . Εἰς τὸ προγνῶναι τὰ γενησόμενα τοῖς κάμνουσι συμπτώματα μέγιστα συντελεῖ καὶ ἡ τῶν ἐπιδημούντων νοσημάτων γνῶσις ἤδη τε ἐνεστώτων καὶ γενήσεσθαι μελλόντων. διείλεκται δ’ αὐτὸς ἐν κεφαλαίοις βραχέσι κατὰ τοὺς Ἀφο ρισμοὺς τά τε καθ’ ὥραν ἑκάστην πλεονάζοντα καὶ τὰ τῇ παρούσῃ τε καὶ προγεγονυίᾳ καταστάσει συνεπόμενα.

18b 304 “τοῦ μὲν γὰρ ἦρος” ἔφη πλεονάζειν “τὰ μελαγχολικὰ καὶ τὰ μανικά” καὶ τἄλλα ὅσα ἐφεξῆς κατέλεξεν, ἃ τοῦ τε ἦρός εἰσιν ἴδια καὶ τῶν ἄλλων ὡρῶν, ὅταν δηλονότι φυλάττωσι τὰς οἰκείας φύσεις. εἰ δὲ μὴ φυλάττοιεν, ‘ἐπιδημήσειν‘ φησὶν ‘ἕτερα νοσήματα τῇ γενομένῃ καταστάσει προσήκοντα.‘ καὶ τούτων ἐδίδαξε, τίνα μὲν ἐξ ὑστέρου γενήσεται, τίνα δ’ εὐθὺς ἅμα τῇ πρώτῃ καταστάσει. Περὶ μὲν οὖν τῶν ὕστερον ἐπιγινομένων ὧδέ πως ἐδίδαξεν. “ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δ’ ἔαρ ἔπομβρον καὶ νότιον” καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς φησι, περὶ δὲ τῶν ἐν αὐταῖς ταῖς παρούσαις καταστάσεσιν, ἐν οἷς φησι “τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι” καὶ τἄλλα, ὅσα τούτων ἐφεξῆς. ἐν Ἀφορισμοῖς μὲν οὖν διὰ κεφαλαίων ἐδίδαξε περὶ τῶν ἐπιδημίων νοσημάτων, ἐν δὲ τοῖς τῶν Ἐπιδημιῶν βιβλίοις ἐπὶ τὰ κατὰ μέρος ἧκεν. ὁπόση δ’ ἐστὶ καὶ τούτων αὐτῶν ἡ χρεία καίτοι δοκούντων ἐν τοῖς καθόλου περιέχεσθαι λεχθήσεται κατὰ τὰ τῶν Ἐπιδημιῶν ὑπομνήματα τούτοις ἀκολούθως γραφησόμενα.

18b 305 Νυνὶ δὲ τὸ κεφάλαιον ἐρῶ τῆς ὅλης προγνώσεως, ὑπὲρ οὗ τὸν λόγον ὁ Ἱπποκράτης ἐποιήσατο κατὰ τὴν προκειμένην ῥῆσιν. οἷς γὰρ εἴρηκε σημείοις ἐν τῷ Προγνωστικῷ τούτῳ βιβλίῳ τῶν νοσημάτων αὐτῶν ἰδίοις, τούτοις ἀξιοῖ προστίθεσθαι τὰ διὰ τὸ περιέχον γινόμενα. φέρε γὰρ ὦφθαί τινα σημεῖα κατὰ τὸν λόγον τοῦ νοσήματος αἱμορραγίας, εἶναι δὲ καὶ τὴν ὥραν ἐαρινήν, ἔτι μᾶλλον ἐλπίσεις ἔσεσθαι τὴν αἱμορραγίαν. εἰ δὲ καὶ ἡ παροῦσα κατάστασις εἴη θερμὴ καὶ ὑγρά, πολλῷ δὴ μᾶλλον καὶ τῶν προγεγενημένων δυοῖν ἢ τριῶν ὡρῶν ἡ κατάστασις, εἰ αἵματος εἴη γεννητική, ἔτι καὶ μᾶλλον ἐλπὶς ἔσεσθαι τὴν αἱμορραγίαν. ὥσπερ οὖν ὁ λόγος ἐπὶ τῆς αἱμορραγίας, οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ἀρκέσει δ’ εἰπεῖν ἕν τι παράδειγμα γενησομένων ἱδρώτων.

18b 306 “ἐν καύμασιν ἀμυδροῖς πυρετοὶ ἀνίδρωτες τὰ πλεῖστα. τοῖσι δὲ ἐπὶ ψεκάσιν ἱδρωτικώτεροι γίνονται.” δῆλον οὖν ὅτι πρὸς τοῖς ἄλλοις σημείοις, ὅσα τοῦ νοσήματός ἐστιν ἴδια, δηλωτικὰ γενησομένων ἱδρώτων ἔτι καὶ τοῦ περιέχοντος ἡ κατάστασις προσερχομένη τὴν ἐλπίδα τοῦ γενησομένου βεβαιοτέραν ὑπογράφει. Εὖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων καὶ τῶν σημείων καὶ μὴ λανθάνειν ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ τά τε κακὰ κακόν τι σημαίνει καὶ τὰ χρηστὰ ἀγαθό ν . Οὐ παρὰ τοῖς ἰατροῖς μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ῥήτορσιν ἐζήτηται, τίνι διαφέρει σημείου τεκμήριον, οὐκ ἐν σημαινομένοις μόνον, ὡς ἄλλοθι, τοῦ προβλήματος ἔχοντος τὴν σύστασιν, ἀλλὰ καὶ πραγμάτων ἐφαπτομένου. χρὴ γὰρ εὑρεῖν τινα φύσιν διττὴν πραγμάτων, ἀφ’ ὧν οἱ μὲν ἰατροὶ προγινώσκουσιν, οἱ δὲ ῥήτορες ἀποδεικνύουσιν ἢ πείθουσιν.

18b 307 ἐπὶ μὲν οὖν τῶν εἰς τὰς ἀποδείξεις λαμβανομένων εἴτ’ ἐπιστημονικὰς οὔσας εἴτε πιθανὰς ἡ διαφορὰ μία μέν ἐστιν ἀναγκαία τε καὶ διὰ παντὸς ἔχουσα τὸ ἕτερον τῷ ἑτέρῳ ἑπόμενον, ἐξ ὧν ἡ πρότασις σύγκειται, ἄλλη δ’ οὐκ ἀναγκαίως οὐδὲ διὰ παντός, ἀλλ’ ὡς τὸ πολὺ μόνον. ἔτι δὲ κατ’ ἄλλην διαφορὰν ἡ μὲν ἐκ τηρήσεώς ἐστιν ἐμπειρικῆς, ἡ δ’ ἐξ ἀκολουθίας λογικῆς, ὅπερ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστὶν ἔνδειξις. αὕτη μὲν οὖν ἐστι τῶν πραγμάτων ἡ διαφορά, τοῖς δ’ ὀνόμασιν ἐπ’ αὐτῶν οὐχ ὁμοίως ἐχρήσαντο πάντες, ἀλλ’ οἵ γε χαριέστεροι (παρίημι γὰρ ἑκὼν τοὺς ἄλλους) ἐπὶ μὲν τῇ προτέρᾳ τομῇ κατὰ τοῦ διηνεκῶς μὲν ἓν ὁτιοῦν δηλοῦντος ἀξιοῦσι χρῆσθαι τῇ τοῦ τεκμηρίου προσηγορίᾳ, σημεῖον δ’ ὀνομάζουσι τὸ ἕτερον· ἐπὶ δὲ τῇ δευτέρᾳ τὸ μὲν ἐκ τηρήσεως σημεῖον, τὸ δ’ ἐξ ἐνδείξεως τεκμήριον. ὅτι μὲν οὖν οὕτω χρῶνται τοῖς ὀνόμασιν οἱ Ἕλληνες οὐκ ἰατροῖς μόνον ἐπίστασθαι χρήσιμον, ἀλλὰ κἀκείνοις, ὅσοις τῇ τέχνῃ προσήκει τὸ ἑλλη νίζειν.

18b 308 ὅτι δὲ εἴς τε τὰς ἀποδείξεις καὶ τὰς προγνώσεις ἡ εἰρημένη διαφορὰ τῶν πραγμάτων ἐγνῶσθαι χρησιμωτάτη, πρόδηλον εἶναι νομίζω παντί. τό γε μὴν ἀμφότερα τὴν ἑαυτῶν ἀεὶ διαφυλάττειν δύναμιν, ὅσα τε ἀγαθόν τι δηλοῖ καὶ ὅσα τι κακόν, ἄξιον ἐπισκέψεως. ἐν γοῦν τοῖς Ἀφορισμοῖς αὐτὸς εἶπεν “ἐν ταῖς νούσοις ἧσσον κινδυνεύουσιν οἱ νοσέοντες, οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης καὶ τῆς ἕξιος καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων ᾖ.” τοῦτ’ οὖν πρὸς τὸ νῦν εἰρημένον οὐ διαφέρεται. κακὸν μὲν γάρ τι σημαίνειν ἔφη τὰ κακὰ διὰ παντός, οὐ μὴν ὅτι γε “ὡσαύτως” ἢ “οὐχ ὡσαύτως” ἔτι προσέγραψεν, ὁ εἰρημένος ἀφορισμὸς οὐδέτερον μετατίθησιν εἰς τὴν ἐναντίαν φύσιν, ἀλλ’ “ἧττον” καὶ “μᾶλλον” ὑπάρχειν αὐτοῖς τοῦτ’ ἔφησε παρά τε τὰς φύσεις καὶ τὰς ἡλικίας καὶ τἄλλα, ὅσα κατέλεξεν, ὥστε κατὰ τοῦτο μὲν οὐκ ἂν ἐναντία λέγοιτο πρὸς Ἱπποκράτου c, κατ’ ἐκεῖνο δὲ μᾶλλον, ὅταν εἴπῃ “τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον.

18b 309 τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστὶν ἀβέβαια καὶ οὐ πάνυ τι διαμένειν οὐδὲ χρονίζειν εἴωθεν.” ἢ τοῦτ’ ἐστὶν αὐτό, δι’ ὃ προσέγραψεν ἐν τῷ Προγνωστικῷ τὴν νῦν ἡμῖν προκειμένην ῥῆσιν; ἐν μὲν γὰρ τοῖς συμπτώμασι γίνεταί τις μετάπτωσις ἔκ τε τῶν πονηρῶν εἰς τὰ ἀγαθὰ κἀκ τῶν ἀγαθῶν εἰς τὰ πονηρά. τῶν δὲ σημείων οὐδὲν εἰς τοὐναντίον μεταπίπτειν πέφυκεν, ἀλλ’ ἧττον μὲν καὶ μᾶλλον ἤτοι κακόν τι σημαίνειν ἢ ἀγαθόν, οὐ μὴν ἀγαθὸν μὲν νῦν, αὖθις δὲ κακόν, ἢ κακὸν μὲν νῦν, ἀγαθὸν δ’ αὖθις. ὅσα γοῦν ἐν τοῖς οὔροις εἶπεν εἶναι κακὰ σημεῖα, ταῦτ’ οὐκ ἄν ποτ’ ἀγαθὰ γένοιτο, καθάπερ οὐδὲ τῶν ἀγαθῶν κακὸν οὐδέν. οὕτω δὲ καὶ ὅσα περὶ τῶν πτυσμάτων ἢ διαχωρημάτων ὡς ἀγαθῶν ἢ κακῶν εἴρηκεν, οὐδὲν εἰς τοὐναντίον μεταπίπτει· κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ’ ὅσα περὶ τὸ πρόσωπον εἶπε γίνεσθαι σημεῖα κατὰ χρόαν ἢ ὄγκον ἢ σχῆμα καὶ περὶ κατακλίσεώς τε καὶ τοῦ πελιδνοῦσθαι καὶ μελαίνεσθαι μόριον ὁτιοῦν ἄλλο τοιοῦτον πάσχειν. ἅπαντα γὰρ διαφυλάττει τὴν ἰδίαν δύναμιν οὐ κατὰ μέγεθος δηλονότι (προείρηται γὰρ ὅτι τὸ “μᾶλλον” δέχεται καὶ “ἧττον”), ἀλλὰ κατὰ γένος, ἐπεὶ μήτε τῶν ἀγαθῶν οὐδὲν εἰς τὸ τῶν κακῶν μεταπίπτει γένος, ἐκείνων τ’ οὐδὲν εἰς τὸ τῶν ἀγαθῶν.

18b 310 ὅταν γε δηλονότι μετὰ τῶν οἰκείων ἐξετάζηται διορισμῶν, οὐ μὴν ἐπί γε τῶν συμπτωμάτων οὕτως ἔχει. καὶ γὰρ δυσπνοοῦσιν ἔνιοι καὶ παραφρονοῦσι καὶ “ὑποχόνδρια ἀνασπῶνται” καὶ ‘μαρμαρυγὰς ὁρᾶν οἴονται‘ καί τινα “ὀρφνώδη προφαίνεσθαι” κρίσεως λόγῳ καὶ μὴν καὶ καρδιαλγεῖν καὶ χεῖλος τὸ κάτω σείεσθαι καὶ παρωτίδας καί τινα ἑτέραν ἀπόστασιν ἔχειν. ἅπαντα γὰρ ταῦτα φαίνεται μέν ποτε, ὡς εἴρηται, “κρίσεως λόγῳ” γινόμενα, ποτὲ δ’ αὐξανομένοις νοσήμασιν ἑπόμενα, καθὸ κἀκεῖνο δεόντως εἴρηται πρὸς αὐτοῦ “τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα.” διώρισται δ’ ἡμῖν ὑπὲρ ἁπάντων τῶν τοιούτων ἐν ἄλλοις τέ τισι κἀν τοῖς Περὶ κρίσεων, ὥστε μηδὲν εἰς τὸ προγινώσκειν ἐνδεῖν καὶ διὰ τοῦτο, ὅπερ ἀεὶ συμβουλεύω, διελθεῖν καὶ νῦν οὐκ ὀκνήσω. πρῶτα μὲν καὶ μάλιστα σπουδάζειν φημὶ μαθεῖν, ὅσα τῆς ἰατρικῆς ἐστιν ἔργα· τὰ δ’ ἄλλα ὅσα τοιαῦτά τινα μὲν ἐν φωνῇ καὶ σημαινομένῳ τὴν ζήτησιν ἔχοντα, τινὰ δὲ τῆς λογικῆς ἐχόμενα θεωρίας, ὕστερόν ποτε καὶ κατὰ πολλὴν σχολὴν μεταχειρίζεσθαι, καθάπερ καὶ νῦν ἐπὶ τῶν σημαινομένων ἔκ τε τοῦ ‘τεκμήριον‘ ὀνόματος καὶ τοῦ ‘σημεῖον‘.

18b 311

ἐπειδὴ γὰρ ὅσον ἐστὶ χρήσιμον εἰς τὴν τέχνην εἴρηταί μοι, προσθήσω τι καὶ τῆς τούτων ἐξηγήσεως ἐχόμενον ἕτερον ὧν ἔμπροσθεν εἶπον. ἔστι δὲ τοιόνδε· τῶν κρισίμων συμπτωμάτων ἐγχωρεῖ κατηγορῆσαι τὸ ‘σημεῖον‘ ὄνομα, τὸ μέντοι ‘τεκμήριον‘ οὐκ ἐγχωρεῖ. μόνα γὰρ ἐκεῖνα σημεῖά τε ἅμα καὶ τεκμήρια καλοῦσιν οἱ Ἕλληνε c, ἐξ ὧν ἔστι τεκμήρασθαί τι περὶ τῆς σωτηρίας ἢ ἀπωλείας τοῦ κάμνοντος, ἃ περιλαβὼν ἄν τις ἑνὶ κεφαλαίῳ φαίη γνωρίσματ’ εἶναι τῶν διοικουσῶν τὸ σῶμα δυνάμεων, ὅπως ἔχουσιν ἀρρωστίας ἢ ῥώμης, ἐν οἷς ἐστι δηλονότι καὶ τὰ τῆς ἀπεψίας ἢ καὶ τῆς πέψεως σημεῖα. τῶν δὲ κρισίμων συμπτωμάτων οὐδὲν ἔχει τοιαύτην φύσιν· ἀλλ’ ὅτι μὲν ἔσται κρίσις δη λοῦται πρὸς αὐτῶν, ὥσπερ καὶ ὅτι δι’ ἐκκρίσεως ἢ ἀποστάσεως, ἔτι τε πρὸς τούτοις διά τινος ἐκκρίσεως ἢ ἀποστάσεως οἷον αἱμορραγίας ἢ ἐμέτων ἢ παρωτίδων.

18b 312 εἴτε δ’ ἀγαθὴ γενήσεται κρίσις ἢ κακή, διὰ τῶν τοιούτων σημείων οὐκ ἔνεστι τεκμήρασθαι. φαίνονται γὰρ οὐδὲν ἧττον εἰς ἀγαθὸν ἢ κακὸν αἱ τοιαῦται κρίσεις ἅπασαι τελευτῶσαι. καὶ διορισμὸν αὐτῶν ἐδίδαξεν ἡμᾶς βεβαιότατον οὐκ ἐκ συμπτωμάτων τινῶν γινόμενον, ἀλλ’ ἐκ σημείων τε καὶ τεκμηρίων τινῶν. “πεπασμοὶ γάρ” φησί “ταχυτῆτα κρίσεως, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ καὶ ἄπεπτα καὶ ἐς κακὰς ἀποστάσιας τρεπόμενα ἀκρισίας ἢ πόνους ἢ χρόνους ἢ θανάτους ἢ τῶν αὐτῶν ὑποστροφάς.” ὥσθ’ ὅτι μὲν ἔσται κρίσις ἐκ τῶν κρισίμων συμπτωμάτων, ἃ δὴ καὶ σημεῖα κρίσιμα καλεῖν ἐγχωρεῖ, προγνῶναι δυνατόν ἐστιν, εἴτε δ’ εἰς ἀγαθόν, εἴτε εἰς κακὸν αὕτη τελευτήσει, διὰ τῶν πεπασμῶν ἡ γνῶσις, ἐν οἷς πάλιν οὐ τοῦ γενήσεσθαι κρίσιν ἡ δήλωσις, ἀλλὰ τοῦ σωθήσεσθαι τὸν ἄνθρωπον ἢ τεθνήξεσθαι. ἔστω δή σοι καὶ ἥδε πρὸς ταῖς ἔμπροσθεν εἰρημέναις ἐξήγησις τῶν προσηγοριῶν ἅμα χρησίμοις πράγμασιν εἰς τὴν τέχνην εἰρημένη.

18b 313 μέμνησο δὲ ὅτι καὶ τὰ κρίσιμα σημεῖα συμπτώματά ἐστι τῷ γένει δηλοῦντα τὰς ἐσομένας ἐκκρίσεις ἢ ἀποστάσεις. αὗται δὲ τοῦ λῦσαι τὴν νόσον ἢ καταλῦσαι τὴν δύναμιν αἰτίαι μὲν πρώτως, κατὰ συμβεβηκὸς δὲ καὶ σημεῖα γίνονται. Ἐπεὶ καὶ ἐν Λιβύῃ καὶ ἐν Δήλῳ καὶ ἐν Σκύθῃσι φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖ α . Οὐ κατὰ τὴν ἑαυτῷ συνήθη βραχυλογίαν τὸν περὶ τῶν χωρῶν ἐποιήσατο λόγον. ἐνῆν γὰρ αὐτῷ τῇ πρὸ ταύτης ῥήσει δύο συλλαβὰς προσθέντι μηδὲν ἔτι δεῖσθαι τῆσδε. προσθεὶς οὖν αὐτὰς ἐγὼ δείξω φανερῶς, ὁποῖός τις ἂν ὁ λόγος ἐγεγόνει. “εὖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων καὶ σημείων καὶ μὴ λανθάνειν, ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ” καὶ χώρῃ “τά τε κακὰ κακόν τι σημαίνει καὶ τὰ χρη στὰ ἀγαθόν.

18b 314 ” ἐν ταύτῃ τῇ ῥήσει τὸ ‘χώρῃ‘ προσθεὶς ἔδειξά σοι περιττὴν εἶναι τὴν νῦν προκειμένην ῥῆσιν. οὐδὲν γὰρ ἄλλο δι’ αὐτῆς ἐδιδάχθη ἢ τὰ σημεῖα τά τε ἀγαθὰ καὶ τὰ κακὰ ταὐτὸν ἑαυτοῖς ἑκάτερα σημαίνειν ἐν ‘ἁπάσῃ χώρῃ‘, κἂν θερμὴ κἂν ψυχρὰ κἂν εὔκρατος ᾖ. Λιβύης μὲν γὰρ ὡς θερμῆς, Σκυθίας δ’ ὡς ψυχρᾶς, Δήλου δ’ ὡς εὐκράτου καὶ μέσης ἀμφοῖν, ἕνεκα παραδείγματος ἐμνημόνευσεν. Εὖ γοῦν χρὴ εἰδέναι ὅτι ἐν τοῖς αὐτοῖς χωρίοισιν οὐδὲν δεινὸν τὰ πολλαπλάσια ἐπιτυγχάνει ν , ἢν ἐκμαθών τις αὐτὰ κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίστητα ι . Ὅπερ ἡμεῖς ἔμπροσθεν εἰρήκαμέν που κατὰ τὴν τοῦ λόγου χρείαν, τοῦτο νῦν ἔγραψεν ὁ Ἱπποκράτη c, ὅτι τῷ καλῶς ἐκμαθόντι τὰς δυνάμεις τῶν σημείων ὑπάρξει, κἂν εἰ μὴ διὰ παντὸς ἀκριβῶς προγινώσκειν τὰ γενησόμενα, τὸ γοῦν ἐπιτυγχάνειν πολλαπλάσιον τῶν ἀποτυγχανομένων, ἐν ᾧ δὴ καὶ βελτίων ἕτερος ἑτέρου τῶν ὁτιοῦν προγινωσκόντων ἐστί.

18b 315 τὸ μὲν γὰρ μηδέποτε ἁμαρτάνειν μεῖζον ἢ κατὰ ἄνθρωπον, τὸ δ’ ὡς ἥκιστα τεχνίτου μόνου. πολλῆς δ’ οὔσης καὶ κατὰ τοῦτο διαφορᾶς ὁ μὲν ἐν τοῖς εἴκοσιν ἅπαξ ἀποτυγχάνων οὐκ ὀλίγῳ τινὶ βελτίων ἐστὶ τοῦ κατὰ δέκα διαμαρτάνοντος ἅπαξ, αὐτοῦ δὲ τούτου πάλιν ὁ ἐν τοῖς ἑκατὸν ἅπαξ ἀποτυγχάνων, ὥσπερ γε καὶ τούτου πάλιν ὁ ἐν τοῖς διακοσίοις. οὔκουν ὀρθῶς ἡμᾶς ἐρωτῶσιν οἱ ἐμπειρικο ί, τί τῶν ὡς τὸ πολὺ θεωρημάτων ἐκ τῆς τοῦ λόγου προσθήκης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδιάπτωτόν τε καὶ διηνεκὲς ἐποιήσαμεν, εἶτ’ οὐκ ἔχοντας δεῖξαι δοκοῦσιν ἐλέγχειν ὡς ἐκ περιττοῦ τὸν λόγον προστιθέντας. εἰ γὰρ καὶ μὴ διηνεκῶς, ἀλλὰ πλεονάκις γε ἐκείνων τοῦ τέλους τῆς τέχνης τυγχάνομεν, ὥσπερ ἐν τῷ προγινώσκειν τὰ μέλλοντα γενήσεσθαι τοῖς κάμνουσιν οὕτω κἀν τῷ θεραπεύειν αὐτούς. Ποθέειν δὲ χρὴ οὐδενὸς νοσήματος ὄνομ α , ὅ τι μὴ τυγχάνει ἐνταῦθα γεγραμμένο ν . [14]

18b 316 πάντα γὰρ ὅσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνετα ι , γνώσῃ τοῖσιν αὐτέοισι σημείοις ι . Τοῦτό μοι δοκεῖ προσθεῖναι κατὰ τὴν τελευτὴν τοῦ λόγου, διότι περὶ τῶν ὀξέων νοσημάτων καὶ ὅσα ἐκ τούτων γίνεται τὴν διδασκαλίαν ἔφη πεποιῆσθαι κατὰ τοῦτο. μεμνημένος οὖν ὅτι τὰ μὲν πλεῖστα τῶν εἰρημένων ὑπ’ αὐτοῦ σημείων ἀγαθῶν καὶ κακῶν ἁπλῶς εἴρηται κατὰ πάντων κοινῇ τῶν νοσημάτων, ὀλίγα δὲ ἐπ’ ἐνίων ἀφωρισμένως, ἀνέμνησε καὶ ἡμᾶς αὐτοῦ μετὰ τοῦ προσθεῖναι τὸ μηδὲν παραλελεῖφθαι κατὰ τὸν λόγον, ὃ τάχ’ ἂν ἡμεῖς ᾠήθημεν ψευδές, ἐπειδή τινων μὲν ἐμνημόνευσεν ὀνομαστί, τινῶν δ’ οὔ. τοῦτο γὰρ αὐτὸ δηλοῖ μὴ μάτην ὑπ’ αὐτοῦ γεγονέναι μηδ’ ἄνευ τινὸς αἰτίας, ἀλλ’ ἐπειδὴ παρὰ τὰ ἄλλα διδασκαλίας ἐξαιρέτου τινὰ τῶν νοσημάτων ἐδεῖτο, διὰ τοῦτ’ αὐτῶν ἐμνημόνευσεν ἰδίᾳ. [10]

18b 317 τὰ δ’ ἄλλα πάντα τὰ παραλελειμμένα τοῖς κοινοῖς ὑποπέπτωκε σημείοις. εὐθέως γε τὸ πρῶτον ὑπ’ αὐτοῦ γεγραμμένον, ὃ προσαγορεύουσι νεκρῶδες πρόσωπον, ἐπὶ παντὸς νοσήματος ὀξέος ὀλέθριον ἀληθῶς εἴρηται. κατὰ δὲ τὸν αὐτὸν λόγον ὅσα περὶ κατακλίσεως ἔγραψεν ἢ ἀναπνοῆς ἢ ὕπνων ἢ ἀγρυπνίας ἢ τῶν ἄλλων ὅσα κοινὰ πάντων ἐστὶ τῶν ἐν τοῖς προγεγραμμένοις χρόνοις κρινομένων. οὐ γὰρ δή γε περὶ τῶν χρονίων αὐτῷ τὸ σύγγραμμά ἐστιν, ἀλλ’ ὡς αὐτὸς εἶπεν ὀξέων τε καὶ τῶν ἐκ τούτων γινομένων, ὧν καὶ τοὺς χρόνους αὐτὸς ἐδήλωσεν, ἐπ’ ἐνίων μὲν εἰκοστὴν ἡμέραν, ἐπ’ ἐνίων δὲ τεσσαρακοστὴν ἢ ἑξηκοστὴν ὅρον θέμενος. [10]

Eulogikon public reading copy · View original HTML at eulogikon.org